4/-

From the Editor

BABRII

FABULÆ ÆSOPEÆ.

E CODICE MANUSCRIPTO PARTEM SECUNDAM

NUNC PRIMUM

EDIDIT

GEORGIUS CORNEWALL LEWIS, A.M.

ÆDIS CHRISTI, IN UNIVERSITATE OXONIENSI, ALUMNUS
HONORARIUS.

LONDON,

JOHN W. PARKER AND SON, WEST STRAND.

1859.

LIPSIAE TYPIS B. G. TEUBNERI.

PRÆFATIO.

Mense Augusto, A. D. 1857, Musei Britannici custodes duos codices Babrianos, a Menâ Minoide Græco*) redemtos, inter libros Musei manuscriptos deposuerunt. Primus codex in pergamenâ, sæculo forsan undecimo, scriptus, fabulas continet CXXIII a Boissonadio A. D. 1844 Parisiis editas, et sæpius dehinc repititas. Alter chartaceus est, apographum codicis cujusdam, qui, paucis abhinc annis a Menâ Minoide in Monte Atho repertus, huc usque non comparuit. Fabulas continet XCV, alphabetico ordine secundum literam primi versus initialem dispositas, et formâ metricâ descriptas. Titulum habet: *Ἐκ τῶν τοῦ Βαβρίου χωλιάμβων*. Ex hoc codice fabulæ quæ nunc in lucem prodeunt transcriptæ sunt. Fabulæ ipsæ, quamvis multos Babrii choliambos, et, etiam ubi metrum pessundatum sit, multa locutionis Bab-

---

*) De hoc viro erudito, consule Boissonadii Præfationem ad Babrium, p. VII.

LIPSIAE TYPIS B. G. TEUBNERI.

PRÆFATIO.

Mense Augusto, A. D. 1857, Musei Britannici custodes duos codices Babrianos, a Menâ Minoide Græco*) redemtos, inter libros Musei manuscriptos deposuerunt. Primus codex in pergamenâ, sæculo forsan undecimo, scriptus, fabulas continet CXXIII a Boissonadio A. D. 1844 Parisiis editas, et sæpius dehinc repititas. Alter chartaceus est, apographum codicis cujusdam, qui, paucis abhinc annis a Menâ Minoide in Monte Atho repertus, huc usque non comparuit. Fabulas continet XCV, alphabetico ordine secundum literam primi versus initialem dispositas, et formâ metricâ descriptas. Titulum habet: *Ἐκ τῶν τοῦ Βαβρίου χωλιάμβων.* Ex hoc codice fabulæ quæ nunc in lucem prodeunt transcriptæ sunt. Fabulæ ipsæ, quamvis multos Babrii choliambos, et, etiam ubi metrum pessundatum sit, multa locutionis Bab-

*) De hoc viro erudito, consule Boissonadii Præfationem ad Babrium, p. VII.

rianae vestigia exhibent, recensionem subiere quæ formam pristinam misere corrupit. Sensus tamen ut plurimum integer remansit. Quæ ad cujusque fabulæ explicationem maxime necessaria videbantur, in notis subieci. De Babrii tempore et poesi egi in præfatione ad fabulas prius editas, Oxon. 1846.

Dabam LONDINI, mense Julio,
A. D. 1859.

CORRIGENDA.

Fab. 23. adde: conf. fab. 29. p. 20. 295. Cor.
Fab. 59. adde: conf. fab. 260. p. 172. Cor.
Fab. 71. v. 10. not. dele 9.

INDEX FABULARUM.

ἄκουσον, ω παῖ, δευτέρων πάλιν μύθων.
κἂν παραπικραίνω σε τῶν ἁλῶν πλείω,
ἀλλὰ πλέον μέλιτος ὕστερον καθηδύνω.
ῥητὴρ μὲν οὐκ ἔγωγε· ταῦτα δ' Αἴσωπος
ὁ Σαρδιηνὸς εἶπεν, ὅντιν' οἱ Δελφοὶ,
θεοῖσι δρῶντες οὐκ ἀνασχετὰ, καλὸν
ᾄδοντα μῦθον οὐ καλῶς ἐδέξαντο.
ἀλλ' ἀπέωσαν νήπιοι κατὰ κρημνοῦ,
λιπόντες ἐπιγόνοισι βάξιν ἐχθίστην.

1. Poeta in hoc prooemio, quod secundæ fabularum parti præfigit, filium Branchum alloquitur, ut in Part. 1. prooem. v. 2. et fab. 18. v. 15. conf. inf. fab. 24. v. 19. Partis primæ secundi libri prooemium extat, 1. prooem. 2.

2. Conf. Part. 1. prooem. 1. v. 18—19. *μελισταγές σοι τοῦτο κηρίον θήσω, πικρῶν ἰάμβων σκληρὰ κῶλα θηλύνας.* vv. *παραπικραίνω* et *παραπικρασμὸς* sunt serioris Græcitatis; vid. Schleusner Lex. Sept. in vv.

4—7. Citat Apollonius in *ἄειδε, ταῦτα δ' Αἴσωπος ὁ Σαρδιηνὸς εἶπεν, ὅντιν' οἱ Δελφοὶ ᾄδοντα μῦθον οὐ καλῶς ἐδέξαντο.* Versus 6, quem omittit Apollonius, metro laborat; sed sensui convenit. Inter *ἀνασχετὰ* et *καλὸν* versus excidisse videtur. — Hinc patet Lexici Homerici quod habemus, scriptorem, post Babrii ætatem vixisse.

8. Æsopi de rupe apud Delphos dejectio ab antiquis scriptoribus commemoratur: vid. Plutarch. de S. N. V. 12. Vit. Æsop. (ed. Westermann. 1845.) p. 57. Zenob. I. 47. Suid. in *Αἴσωπος* et *ἔωσεν*, et Schol. Aristoph. Vesp. 1446. Conf. Herod. II. 134. Ælian. V. H. XI. 5. alios auctores citat Grauertus de Æsopo (Bonnæ 1825), p. 58. Fabula de Scarabæo, quam sacrilegii accusatus Delphis narravit Æsopus, teste

Aristophanis Scholiasta, ad Vesp. 1446, extat ap. Schol. Pac. 130. (fab. 2. ed. Coraes.)

Vv. 1. 4. 5. 7. 9 formam choliambicam retinent: reliquos versus depravavit vetus *διασκευαστής*.

FAB. II.

Αἴσωπος εἶπε καὶ τόδ᾽ ἐν παλαιφάτοις·
ὄρνιθα πρώτην τὸν κόρυδον γεγεννῆσθαι·
καὶ γῆς μὲν αὐτῆς εἶπέ μιν προϋπάρχειν.
ταύτης δὲ συμβέβηκεν ἔκ τινος νούσου
φίλον γενήτην τέρμα βιότου πλῆσαι.
μήπω δὲ γαίης τηνικαῦθ᾽ ὑπαρχούσης,
οὐκ εἶχε, ποῦ γάρ; τὸν νεκρὸν καταθάπτειν.
ὁ δ᾽ ἀκτέριστος προυβέβλητο πεμπταίῃ,
ὅμως δ᾽ ἀμηχανοῦσαν ἐν κάρῃ θάψαι.
θάπτειν θανόντας εὐσεβὲς ὂν ἀεὶ γνώσῃ·
σέβειν τε τοὺς τεκόντας εὐπαλαίτατον,
νόμον ἄριστον καὶ τεθειμένον φύσει.

5. Pro *βιότου*, *τοῦ βίου* legi potest. conf. Simonid. fragm. 6013. ed. Schneidewin.

6. *γέης* B. (hoc est, codex Musei Britannici). Vv. 4. 6. 8 et 9 metrum conservant, sed vv. 8 et 9 inter se non cohærent. — Extat fabula ap. Aristoph. Av. 474. conf. apologum Indicum ap. *Aelian.* N. A. XVI. 5. cum Galeni interpretatione, De Simpl. Med. XI. 37. vol. XII. p. 360. ed. Kühn.

FAB. III.

Αἴσωπος ἐς ναυπήγιον ποτ᾽ εἰληλούθει —
σχολὴν γὰρ ἦγε πρὸς θεωρίης πάτον —
ἐκεῖ δ᾽ ἀεργοῖς ἠβόλησε ναυπηγοῖς.

ἔσκωπτον ουτοι τὸν σοφὸν παναγροίκως,
καὶ τοῦτον ἐκκαλοῦντο πρὸς λὸγους χλεύῃ.
ὃς δή τιν' οὐκ ἄμουσον εἶπε τὸν μῦθον.
  χάος τὸ πρῶτον ἠδ' ὕδωρ γενηθήτην.
ἐβούλετο Ζεὺς καὶ γέην ἐποφθῆναι,
τέως ἄφαντον ἐξ ὑδατίου πλήθους.
κεἰς τρὶς παρῄνει τῇσδε νᾶμα θαλάσσης
ἀπορροφῆσαι· τῆς δ' ἅπαξ πεπωκυίας,
ὄρη τὸ πρῶτον ἐξέφηνεν εἰς ὕψη.
τὸ δεύτερον δ' εἶτ' ἐκροφησάσης γαίης,
ἀπεγυμνοῦτο δάπεδα χλόης πλήρη.
ἐὰν δὲ δόξῃ καὶ τρίτον τόδε πράττειν,
οἰχήσεθ' ὑμῖν φροῦδα τάγε τῆς τέχνης.
  πρὸς κρείττονας πᾶς τις λόγοισιν ἀφραίνων
ἐφ' ἑαυτὸν μᾶλλον προυκέκληκε τὴν χλεύην.

1. *ναυπήγεον* et *ἐληλούθει* B. Pro *εἰληλούθει* ex paraphraste *εἰσήχθη* restitui potest.

9. *βάθους* in marg. B. *βένθους* conjici potest. V. *ὑδάτιος* fortasse antepenultimam producit, ut *τετράποδον* inf. f. 74, 3. f. 83, 3.

10. *κἐς* B.

12. *ἐς* B.

16. Pro *τάγε*, *ταῦτα* aut *πάντα* legendum. cf. f. 13, 4. *τὰ τῆς τέχνης*.

18. Pro *μᾶλλον*, *αἰεὶ* fortasse restituendum.

Vv. 3. 4. 5. 6. 7. 8. 11. 12. 15. 17 metra retinent. In vv. 1. 16 metrum levi emendatione restitui potest. conf. fab. 311. p. 205. 404. ed. Cor. Hanc Æsopi fabulam recitat Aristoteles Meteorol. II. 3. *καὶ γὰρ ἐκεῖνος* [*Αἴσωπος*] *ἐμυθολόγησεν ὡς δὶς μὲν ἡ Χάρυβδις ἀναρροφήσασα τὸ μὲν πρῶτον τὰ ὄρη ἐποίησε φανερά, τὸ δὲ δεύτερον τὰς νήσους, τὸ δὲ τελευταῖον ῥοφήσασα ξηρὰν ποιήσει πάμπαν*. conf. Ideler ad Meteor. vol. I. p. 520.

FAB. IV.

ἀετός ποτ' εἶχετ' ἐν βρόχοισιν ἀγρώτου.
ὃς δὴ τὰ ταρσὰ τοῦτον εὐθέως τίλας
μέθηκεν ἄνετον κατ' οἰκίην μετ' ὀρνίθων.
ἄλλος δὲ τοῦτον θηράτωρ ἐξωνεῖται,
κἀναπτερώσας εἶχε πρὸς τὸ θηρεύειν.
ὃς δὴ πετασθεὶς καὶ λαγὼν ἀναρπάσας
ἤνεγκε δῶρον δεσπότῃ νέῳ πρόφρων.
ἰδοῦσα κερδὼ ταῦτα φησὶν ἀείτῃ·
μή σύ γε τοῦτον, ἀλλὰ τὸν πάλαι τίμα.
μή τοί σε πάλιν αὐτὸς ἐμπαγιδεύσας
τὰ πτίλα καὶ δεύτερόν σε τιλώσῃ.
πρὸς ἣν ἔλεξε τοιάδ' ἱρὸς ἀείτης·
πόρρω κακῶν με τοὺς καλοὺς δέον τίειν.

3. Pro κατ' οἰκίην, οἰκίῃ cum pedestribus fabulis legendum.

8. Extat forma ἀείτης ap. Lyc. 461.

11. πτίλλα B.

13. πόρρω με κακῶν B.

Vv. 2. 5. 7. 8. 12. 13 metra retinent. conf. fab. 147. p. 88. 345. ed. Cor.

FAB. V.

ἄμπελος ἔθαλλε βοτρύεσσι καὶ φύλλοις.
τράγος παρελθὼν παρέτρωγε τῆς βλάστης.
τοῦτον προσεῖπεν ἄμπελος· τί με βλάπτεις;
κείρων τὰ φύλλα· μὴ γὰρ οὐκ ἔνι χλοίη;
ἀλλ' ἀξίαν οὐκ ἐς μακρὰν δίκην δώσεις.
κἂν γάρ με κείρων σὺ φάγῃς ἐπὶ ῥίζαν,
ἀλλ' οὖν γε λοιβὴν θυομένῳ σοι παρέξω.

6. 7. Conf. epigramma Eueni Ascalonitæ, Anth. Pal. IX. 75. κἢν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω, ὅσσον ἐπι-

σπεῖσαι σοί, τράγε, θυομένῳ. et Leonidæ Tarentini, ib. 99. etiam Ovid. Fast. I. 357. Rode, caper, vitem: tamen hinc, cum stabis ad aram, In tua quod spargi cornua possit, erit.

Vv. 1. 3. 4. 5 integri servantur. Extat fabula 280. p. 183. Cor. ubi paraphrasis iambica:

τράγῳ προσεῖπεν ἄμπελος·
βλάπτεις σύ με,
κείρων τὰ φύλλα· μὴ γὰρ
οὐκ ἔστι χλόη;

FAB. VI.

ἀνήρ τε καὶ λῖς ἠβόλησαν ἀλλήλοις.
αὐχῶν ἕκαστος θατέρῳ συνωμίλει.
χὠδοιποροῦντες εὐθέως ἴδον στήλην,
ἐν ᾗ λέοντ' ἄνθρωπος ἦγχ' ἐπιβαίνων.
ὤνθρωπος αὐτὴν τῷ λέοντι ἐπιδείξας,
ὁρᾷς λεόντων, εἶφ', ὅσον βροτοὶ κρείττους.
ἀλλ' εἰ λέοντες, εἶπεν, ᾔδεσαν γλύφειν,
πολλοὺς ἂν ὑμῶν εἶδες ὑπὸ λειόντων
πατουμένους τε κἀγχομένους ὅσους ἄλλους.
ἕκαστος αὐτὸν ἐν λόγοισιν ἐξαιρεῖ.

1. ἀνήρ τις καὶ B.

2. συνωμίλει, hoc est, alius cum alio confabulabatur. cf. I. procem. I. v. 11. πρὸς γεωργὸν ὡμίλουν. f. 7. v. 4. πρὸς τὸν ἵππον ὡμίλουν. f. 12. v. 6. καὶ δὴ προσέπτησάν τε καὶ προσωμίλουν. f. 15. v. 12. ἀνδρὶ Θηβαίῳ — ὡμίλει. De ὁμιλῶ sensu *colloquendi* usurpato, vid. Schleusner. Lex. N. T. in v. Usus est serioris Græcitatis.

4. Uncinis includit B. Fortasse ἐπεμβαίνων legendum. Voces Homericas frequentat Babrius.

5. 'πιδείξας B.

Vv. 1. 2. 3. 4 (correctus). 6 et 10 metrum retinent. conf. fab. 219. p. 142. 374. Cor.

FAB. VII.

ἀνήρ τις ἐπρίατο χῆν' ἅμα κύκνῳ,
τροφήν τε παρέβαλλεν οὐκ ἴσῃ γνώμῃ.

τὸν μὲν γὰρ ᾠδῆς, τὸν δὲ χάριν τραπέζης.
ὡς οὖν ἔμελλε χηνίον καταθύσειν —
ἐτετράφη γὰρ ἵνα δεσπότην θρέψοι —
ἐπῆλθε καὶ νὺξ, ἣ τὰ πάντα καλύπτει.
νυκτὶ δὲ ῥᾷστ' ἄν τις ὄρνιν συλλάβοι.
ὁ δεσπότης δ' οὐκ εἶχεν εὖ διοπτεύειν
τίς ἑκατέρων ὁ κύκνος εἴθ' ὁ χὴν εἴη,
ἀντὶ δὲ χηνὸς ᾠδικὸς κύκνος ἀπήχθη.
ἀλλ' οὗτος ᾠδῇ τὴν φύσιν καταγγέλλει,
καὶ τὴν τελευτὴν τῷ μέλει διαφεύγει.
πολλοὺς ἔσωσε φθέγμα ῥηθὲν εὐκαίρως.

4. ὡς οὖν ἔδει τὸν χῆνα καταθύσειν in marg. B.
10. ἤχθη in textu, ἀπήχθη in marg. B.
11. ἐξαγγέλλει in textu, καταγγέλλει in marg. B.
Vv. 8. 9. 11. 13 formam metricam conservant. cf. fab. 74. p. 44. Cor.

FAB. VIII.

βάτραχοι νέμοντο δύο τινὲς ἐν λίμνῃ.
ἐν ἡμέραις δὲ τοῦ θέρους ξηρανθείσης,
ταύτην λιπόντες ἐσκόπουν τυχεῖν ἄλλῃ.
καὶ δῆτ' ἔκυρσαν φρέατ' ἰόντες εὐύδρῳ.
τόδ' εἰσιδὼν ἔφησεν ἅτερος τούτων.
συγκατίωμεν, εἰ δοκεῖ, τόδ' εἰς ὕδωρ.
εἰς γὰρ νομήν τε καὶ δίαιταν εὖ ἥκει.
ὁ δὲ πρὸς αὐτὸν ἀντέφησ' ὑποβλήδην·
ἀλλ' εἰ τυχὸν καὶ τοῦτο νῷν ἐπιλείψοι,
πῶς εἶτ' ἂν ἐκβαίημεν ἐξ ὅσου βένθους;
μηδέν τι ποιεῖν ἔργον ἀπερισκέπτως.

3. Ita B. in marg. verum in textu: ταύτην καταλείψαντες ἐσκόπουν ἄλλῃ. Pro ἄλλῃ sensus poscit ἄλλης.

5. τούτων in marg. ἄλλῳ in text. B.

8. ὑποβλήδην. Recurrit Part. I. fab. 95. v. 66. Vocem Homericam ab Il. I. 292. sumpsit poeta, ubi *reprehensionis* notionem exprimit.

Vv. 2—5. 7. 8 et 10. integri supersunt. conf. fab. 19. p. 13. 290. Cor.

FAB. IX.

βατράχους κατεῖχε τῆς ἀναρχίης λύπη.
πρέσβεις τ' ἔπεμψαν εἰς Ὄλυμπον ἱκτῆρας,
εἴ πως Κρόνου παῖς σφιν ἄνακτ' ἐπιπέμψοι.
ὃς δὴ γινώσκων τούσδ' ἐόντας εὐήθεις
ἐκέλευσεν Ἑρμῆν ξύλον ἐν μέσῳ λίμνης
λαβόντα ῥῖψαι κοίρανον κοαξόντων.
τοῦ δὲ ξύλου πεσόντος οἶδμ' ἐπατάχθη.
κεῖνοι παρ' αὐτὰ δειματούμενοι κτύπῳ
κατέδυσαν αὐτοὺς εἰς βάθιστα τῆς λίμνης.
χρόνος δὲ βραχὺς τῷδ' ἔπι παρῳχήκει.
χὡς ἀκίνητον σφῶν ἄνακτα καθώρων,
δέος ἀπεβάλλοντ', ἠδ' ὑπερφρόνουν οὗτοι,
ὡς κἀπὶ τοῦτον ἀδεῶς ἐπιβαίνειν,
ἠδ' ἀναβάδην τῷδ' ἔπι καθιζάνειν.
καὶ δῆτ' ἄνακτα τόνδ' ἔχειν ἀπηξίουν.
ἀνήεσάν τε δεύτερον εἰς θεῶν οἴκους,
ἠδ' ἱκέτευον τὸν ὕπατον κρειόντων,
ἐπαξίως σφῶν λαγέτην ἐπιπέμψαι.
δοκὸν δ' ἐκείνην οὐκ ἔοικεν ἀνάσσειν,
οὐδὲ ξύλοις αὐτοῖσι, μήτοι γε ζώοις·
ἐς γὰρ νομὴν πέφυκεν ἔμμεν Ἡφαίστου.
ὁ Ζεὺς πρὸς αὐτοὺς ἔγχελυν καταπέμπει.
ὁρῶντες οὖν καὶ τοῦτον ὡς μάλ' εὐήθη,

οὐδ' αυτὸν ἠθέλησαν αὐτέων ἄρχειν.
τρίτην τ' ἔπεμψαν ἱκέτειαν ὡς Ζῆνα,
ἐκλιπαροῦντες αὖθις αὐτὸν ἀμείβειν,
ἄλλον τε πέμψαι νουνεχέστερον τούτου,
ὃς ἀξίως σφιν κὰν δίκῃ μετανάσσοι.
ὁ Ζεὺς ἀκούσας ταῦτα κἀγανακτήσας
ἔπεμψεν ἀνάσσουσαν αὐτέων ὕδραν.
ἡ δ' οὖν ἕκαστον λαμβάνουσ' ἀνὰ τούτων
τοὺς τλήμονας κατήσθιε νηλεῶς πάμπαν,
ὡς μὴ κοάζειν πλεῖν μηδ' ἔτι βρεκκεκέξειν.
πάσχουσι ταῦτα πλείονες μετ' ἀνθρώποις,
ἄρχοντα μὴ στέργοντες ὅν γ' ἔχον πρῴην.

7. In marg. B.

17. *ὕπατος κρειόντων* locutio Homerica.

18. *λαγέτην*. Hac voce Pindarica utitur etiam Babrius inf. f. 73, 2.

26. Pro *ἀμείβειν* fortasse *ἀλλάξαι* ex paraphrast. legendum.

28. *μετανάσσει* B. Compositum *μετανάσσω* ignotum est.

30. Pro *ἔπεμψεν ἀνάσσουσαν* fortasse *ἔπεμψε βασιλεύσουσαν* legendum.

33. *βρεκκεκέζω*, vocabulum ex Aristophanico *βρεκεκεκὲξ* effictum, Ran. 209.

Vv. 1. 2. 6. 9. 12. 20. 21. 23—25. 26 (correctus). 27. 29. 34. 35 metra conservant. conf. fab. 167. p. 101. 355. Cor.

FAB. X.

βέλει τοξευτὴς ἀετοῦ γ' ἐστοχάσθη,
ἀφεὶς δ' οἰστὸν τὸν ἀετὸν βεβλήκει.
ἐπιστραφεὶς δ' ἐκεῖνος ὡς ἑωράκει
βέλος πτερωτὸν τοῖς πτεροῖσιν οἰκείοις,
θνήσκων ἔλεξε· φεῦ ἐμοὶ ταλαιπώρῳ·
πτεροῖσι τοῖς ἐμοῖσι νῦν κατευνήθην.
ἐκ τῶν ἰδίων πολλ' ἔπαθον οἱ πλεῖστοι.

Vv. 3. 4. 5. 6 poetæ manum exhibent. conf. fab. 133. p. 74. Fabulam ex mythis Libycis allegat Æschylus in noto Myrmidonum fragmento, vol. I. p. 65. ed. Wagner. vide Porson. ad Med. 139.

FAB. XI.

βόες ποϑ' ἅμαξαν εἷλκον ἰόντες εἰς κώμην.
τοῦ δ' ἄξονος τρύζοντος οἶδ' ἠγανάκτουν.
κἀπιστραφέντες ταῦτ' ἐφώνεον κείνῳ·
ἡμῶν φερόντων ἄχϑος ὅλον, σὺ τί κράζεις;
ἄλλων πονούντων σφᾶς τινὲς φασὶν κάμνειν,
εἰ καὶ δράσαντες μηδὲν οἵγε παράπαν.

4. τρύζεις B. in marg.
V. 3. integer remansit. Fabula paulum variata est ab eâ quæ ap. Babrium, Part. I. fab. 52. extat. Tres fabulæ pedestres apud Coraëm comparent (fab. 168. p. 102. 355.), quarum una cum fab. 52., duæ cum præsente fabulâ conspirant.

FAB. XII.

βάτραχοι δύω ποτ' ἐγειτνίων παρ' ἀλλήλοις.
ἐνέμοντο δ' οὖν, ὁ μέν τις ἐν βάϑει λίμνης,
καὶ τῆς ὁδοῦ δὲ μὴ μακρὰν ἀφεστώσης,
ὁ δ' αὖ τι τέλμα, κἂν ὁδῷ ϑ' ἁμαξήρει.
ὁ δὴ λιμναῖος ϑατέρῳ γε παρῄνει
πρὸς αὐτὸν ἀποστάντα συμβιωτεύειν,
ὡς ἂν διαίτης ἀσφαλεστέρης τύχοι.
ὁ δ' οὐκ ἐπείϑετ', ἀλλὰ δυσαποσπάστως
ἔχειν ἔφησε τῆς τόπου συνηϑείης,
ἕως ἅμαξ' ἐπῆλϑεν ἢ κἀμαλάχϑη.
οὕτως ἀπειϑῶν ἐξόλωλεν ὁ τλήμων.

3. *πόρρω τῆς ὁδοῦ* ap. paraphrast.
5. *γ' ἐπαρήνει* B.
10. *κἐμαλάχθη* B.
Vv. 2. 3. 4. 9. 11 integri extant. cf. fab. 84. p. 49. Cor. quæ nostræ fabulæ vestigiis insistit, et in voc. *δυσαποσπάστως* concordat.

FAB. XIII.

Γάλλοις ἀγύρταις εἰς τὸ κοινὸν ἐπράθη
ὄνος τις οὐκ εὔμοιρος ἀλλὰ δυσδαίμων,
ὅστις φέρῃ πτωχοῖσι καὶ πανούργοισιν
πείνης ἄκος δίψης τε καὶ τὰ τῆς τέχνης.
οὗτοι δὲ κύκλῳ πᾶσαν ἐξ ἔθους χώρην
περιόντες ᾔτουν ὄψα· "τίς γὰρ ἀγροίκων
οὐκ οἶδεν Ἄττιν λευκόν, ὡς ἐπηρώθη;
τίς οὐ προθοίνας ὀσπρίων τε καὶ σίτων
ἁγνῷ φέρων δίδωσι τυμπάνῳ Ῥείης;"
ὄνος δ' ὁ τλήμων πολλὰ βαστάζων ὤμοις
πεσὼν τεθνήκει, τῷ κόπῳ δ' ἀπηυδήκει.
ὅνπερ κἀπεκδείραντες οἱ συναγύρται
δορὴν τάνυσσαν, τύμπαν' ἤραρον, τούτου,
καὶ τυμπανήρεις ἐτρόχαζον ἐν κώμαις.
ἑτέροις δέ πως συνηβόλησαν ἀγύρταις,
οἵ σφᾶς ἐπυνθάνοντο τίπτ' ὄνος πράττοι.
θανεῖν πάλαι μὲν εἶπον, ἀλλ' ὅμως ἤδη
πληγὰς τοσάσδε λαμβάνειν, ὅσας εἰ ζῶν
ἀκμὴν ὑπῆρχεν, οὐδαμῶς ἂν οὐκ ἔτλη.

1. Vv. 1. 2 et 5—9 e Babrio citavit Tzetzes Chil. XIII. 263. vv. 3 et 4 supplevit Natalis Comes Myth. VIII. 5.
3. *ὅστις φέρει πτωχοῖσιν ἠδὲ πανούργοις* B. Quod dedi habet Nat. conf. inf. f. 27. v. 12.
4. *σάκος* et *κακῆς τέχνης* Nat.
6. *περιιόντες ἔλεγον* pro *περιόντες ᾔτουν ὄψα*, Tzetz.

8. *ἀπαρχὰς* pro *προθοίνας* Tzetz. *προθοίνη* est vox lexicis ignota.

14. *τυμπανήρης*, 'tympano instructus'; conf. *κωπήρης*, *λογχήρης*, *ξιφήρης*.

16. *τί ποτ' ὄνος* videtur legendum.

19. *οὐδαμῶς ποτ' ἂν ἔτλη* B.

Præter vv. 12 et 15 ceteri metrum retinuerunt. conf. fab. 241. p. 158. Cor. Phædr. IV. 1. Asinus Syriam Deam vehens, cum sacerdotibus mendicis, ap. Lucian. Luc. 35—41. memoratur. conf. Apul. Met. VIII. ad fin. De Gallorum cum Attidis pueri et Matris Magnæ sacris conjunctione, fabula extat ap. Serv. Æn. IX. 116. De Rheæ cultu cum tympanis et strepente musicâ celebrato, multa habet Strabo X. 3. §. 12—16. 'Resupinati cessantia tympana Galli', Juv. VIII. 176. Versus in scenâ pronuntiatus de Gallo matris deum tympanizante a Suet. Aug. 68. memoratur, ubi multa de Gallis et eorum tympanis congerunt interpretes. conf. Lobeck. Aglaopham. vol. I. p. 647. Alia extat infra fabula (fab. 57), in quâ asinus dei imaginem vehit.

FAB. XIV.

γεωργὸς εἶδεν ἐν πάγῃ τιν' ἀείτην,
κάλλους ἀγασθεὶς, τὸν δ' ἔλυσε πτηνάγρης,
βρόχων τ' ἐλευθέρωσεν· ἦν δ' ἄρ' ἀείτης
ὑφ' οὗ σέσωστο γηπόνῳ μάλ' εὐγνώμων.
ἰδὼν γὰρ αὐτὸν ἥμενον παρὰ τοίχῳ, —
καθῆστο δ' ἐκ καύσωνος ἀμπνέων αὔρην, —
ἀφείλετ' ἐπιπτὰς τὸν φάκελλον ἐκ κόρσης,
κἄρριψε μακράν· γηπόνος δ' ἐφορμήσας
μέθεπε φάκελλον· τοιχίον τ' ἐπιπίπτει.
οὕτω γεωργὸς ἀντίμισθον εἰλήφει.
εἴπερ μέμνηται πτηνὸν εὖ παθὸν σώστου,
πῶς οὐ βροτῶν κάκιστός ἐστιν ἀγνώμων;

7. 9. *τοῖς ποσὶν ἦρε τὸν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ φάκελλον*, unus paraphr. *τὸ ἐπὶ τῆς κεφαλῆς ἐκείνου ἀφείλετο σιμικίνθιον*, alius paraphr. *φάκελλος* seu *φάκελλον* seriore lin-

guâ capitis integumentum exprimebat. Ita Suidas: *φάκελλος, τὸ τῆς κεφαλῆς φόρεμα, ὃ καὶ φακιόλιον λέγεται. σιμικίνθιον* est Latinum *semicinctium*. conf. Ducange Gloss. inf. Græc. in *φακεώλιον* et *σιμικίνθιον*.

8. *κέρριψε* B.

11. *μέμηται* et *παθὼν* B.

Vv. 1—4. 6. 7. 10. 12 formam metricam conservant. conf. fab. 307. p. 202. 403. Cor.

FAB. XV.

γεωργὸς εὗρε χρυσὸν ἐν γέῃ σκάπτων.
στεφάνοις δὲ τὴν γῆν ἔστεφ' ἡμέραν πᾶσαν,
ὡς δὴ παρ' αὐτῆς εὖ παθὼν ἀναιτήτως.
αἴφνης δ' ἐπιστᾶσ' ἡ Τύχη λέγει τούτῳ·
τί δή ποτ', ὦνερ, δῶρα τἀμὰ τῆς γαίης
εἶναι νομίζεις; παρ' ἐμοῦ γὰρ εἰλήφεις,
δι' ἣν λέγουσι τοὺς μὲν εὐτυχεῖς εἶναι
ἐμοῦ τυχόντας εὐμενοῦς ὑπαρχούσης,
τοὺς δ' ἀτυχῆας δυστυχοῦς καθεστώσης.
ἐγὼ δέ σοι δέδωκα ταῦτα πλουτίσαι,
θέλουσα καὶ τῆς σῆς λαβεῖν πεῖραν γνώμης,
ἐάνπερ εὖ καὶ μὴ κακῶς ἀναλώσῃς.
ἔδει σ' ἔμοιγε τὴν χάριν καταθήσειν.
ἢν γὰρ ὁ καιρὸς σὴν φύσιν μεταλλάξῃ,
καὶ μὴ δεόντως ταῦτα προσδαπανήσῃς,
οὐ δῆτα τῇ γῇ, τῇ δ' ἐμῇ τύχῃ μέμψῃ.
ἔρδειν τι καλὸν ὅς σε καλὸν ἂν δράσῃ.

4. *τέως* in marg. B. pro *αἴφνης*.

Vv. 1—5. 7. 8. 11. 12. 16. 17 metrum retinent. conf. fab. 82. p. 48. 317. Cor. Avian. fab. 12.

FAB. XVI.

γυνὴ φίλεργος καὶ περίφρονος γνώμης
δμώας κατ' οἶκον εἶχεν, ὥσπερ εἰώθει,
νύκτωρ ἀνιστᾶν ἀμφ' ἀλεκτόρων ᾠδάς.
ἐδόκουν ὀτλεύειν πολλὰ τῇ τ' ἐγρηγόρσει,
ἔργοις τε συχνοῖς ἐν ταλασσιουργείῃ,
κἄγνωσαν οἰκόσιτον ἀλέκτορα κτείνειν·
αὐτὸν γὰρ ᾦοντ' αἰτίην ὅσων ἔτλαν.
ἀλλὰ πρὸ οὐδὲν ταῖσδε καλὸν ἐπράχθη·
χείρω γὰρ ἔτλαν τηνικαῦτα τῶν πρώτων.
ἡ δεσπότις γὰρ ἀγνοοῦσα τὴν ὥρην,
καθ' ἣν ἀλέκτωρ νυκτίως γε κοκκύζει,
τάσδε πρὸς ἔργον ἐννυχώτερον ἀνίστα,
καὶ μᾶλλον ἢ πρὶν ἀθλίαι ταλαιπώρουν.
τὰ γὰρ τέλη τοιαῦτα τῆς κακῆς γνώμης.

1. *περιφρόνου* B.
2. *δμῶας* B.
5. *ταλασιουργείῃ* B.
7 et 9. *ἔτλων* B.
11. *γ' ἐκόκκυζεν* sensus poscit.

Vv. 1—4. 7. 9—11. 13. 14 metra conservant, verum ad initium sensus imperfectus est. conf. fab. 79. p. 47. 316. Cor.

FAB. XVII.

γυνή τις ηὔχει μαντικῆς ἐπιστήμων
τὴν κατ' ἐπῳδὰς ἀλλὰ καὶ μηνιμάτων,
ὅταν κακούργοις οἱ θεοὶ νεμεσσῶνται.
ἐτέλει δ' ὅμως οὐ μικρὰ τοὺς ἐρωτῶντας,
εὑροῦσ' ἀρίστην τοῦ πορίζεσθαι τέχνην.
ἡ μάγος αὕτη καὶ βίον σεσωρεύκει,
ἐφ' οἷς τινὲς γραψάμενοι γραφὴν ῥήτρᾳ
αἱροῦσιν αὐτὴν κηρεσιφόρῳ ψήφῳ.

ἰδών τις αὐτὴν ἀγομένην ἐκεκράγει·
οὐ σὺ θεῶν γε μῆνιν ἄρ' ἐπηγγέλλου
ἀποτρέπειν αὐχοῦσα τῶν βροτῶν ἄλλων;
πῶς οὖν δικαστῶν οὐ κατίσχυσας ψῆφον,
πείθουσα τούτους; μηδαμῶς τι τῶν θείων
ᾤου νεωτερίσαι, τὰς θεῶν βουλὰς
βροτοῖς ἀποκαλύπτουσα, καθὰ δὴ κεῖνοι
ἔχουσιν ὀργῆς ἀνέροις κακορρέκταις,
ἵνα σε μηδ' ἕλκοιεν οἶμον εἰς ᾅδου.
ψεύδους δὲ μάντις ἀξίαν δίκην τίνει.

4. Sensus est: 'Consultantes autem haud modico pretio initiavit.'

7. *ῥῆτραι* B. sed quid voc. *ῥήτρα* hic significet, parum liquet.

8. V. *κηρεσιφόρος* apud Nicetam Choniatam occurrit: *κηρεσσιφόρητος*, sensu passivo, est vox Homerica, Il. VIII. 527.

13—17. In his vv. sensus est mancus, ut et in v. 2.

16. *ἀνδράσιν* pro barbaro *ἀνέροις* metro convenit.

17. *ἕλκειεν* B.

Vv. 1. 3—5. 9. 11—13. 18 metrum retinent. cf. f. 80. p. 47. 316. Cor.

FAB. XVIII.

γυνή τις ὀφθαλμῷ νοσοῦσ' ἐκεκμήκει.
τῶν τιν' ἰητρῶν τῶν λαβεῖν παλιντριβῶν,
ὅπως ἑαυτὴν τῆς νόσου θεραπεύσῃ.
διέκειτο δ' αὐτοῖν μαρτύρων τε παρόντων,
ὡς εἴπερ ὄψιν τήνδε καθυγιάσει,
πολύν τινα μισθὸν λαμβάνειν παρὰ ταύτης·
εἰ δ' οὖν ἀκέστωρ μὴ πάθους ἀπαλλάξει,
μηδὲν λαβεῖν ὧν ἡ νοσοῦσ' ὑποσταίη.
ὡς εἶτ' ἐκεῖνος φαρμάκοισι τὰς γλήνας

καθ' ἡμέραν τε φοιτάων τε καὶ χρίων
περιέδει τῆς γραὸς ὥστε μὴ δέρκειν,
σκευῶν ἕκαστα τῆς νοσούσης ἀφῄρει,
ὁσημέραι τε τοῦτ' ἐτύγχανε πράττων.
ὡς κατὰ μικρὸν οἰκίης γε τὰ σκεύη
καὶ χρήμαθ' ἁπλῶς τῆς γυναικὸς εἰλήφει.
μετὰ δὲ καιρὸν ἡ γυνὴ ἀφιήθη,
καὶ τήνδ' ἀκέστωρ ἴατρα προσαπῄτει.
αὐτὴ δ' ἀναβλέψασα, τῶν θ' ὑπαρχόντων
μηδὲν ὁρῶσα, μίσθὸν οὐκ ἐβουλήθη
τελεῖν ἰητρῷ τῶνγ' ἀφαιρέτῃ πάντων.
ἐπέκειτ' ἀκέστωρ, τόν τε μισθὸν ἐζήτει.
ἡ δ' ἀνεβάλλετ', οὐδ' ἐβούλεθ' οἱ δοῦναι.
ὁ γοῦν ἀκέστωρ ἐς δίκην προκαλεῖται.
σταθεῖσα δ' ἡ γραῦς ἀντίον δικαζόντων
ἔλεξεν αὐτοῖς τάδε τῆς ἀληθείας·
οὗτος μὲν, ἄνδρες, φησί μου θεραπεῦσαι
γλήνας νοσούσης φαρμάκων τε χρῃζούσας.
ἐγὼ δὲ δεινὴν, φημ', ἀβλεψίην πάσχω.
νοσοῦσα γὰρ ὄψεις ἔβλεπον πολλ' εἰν οἴκῳ,
σκευῶν τ', ἐπίπλων, χρημάτων, ὅσων κτώμην.
ὅμως δὲ νῦν, ὅθ' οὑτοσὶ μ' ὁρᾶν φάσκει,
οὐδὲν βλέπειν ἔγωγέ φημι τῶν πάντων.
οὕτω πονηρὸς, φιλοληψίης ἥττων,
ἑαυτὸν ἐξήλεγξεν ἰδίοις ἔργοις.

2. Inter 1 et 2 aliquid deest ad sensum explendum. παλιντριβὴς hic *usu exercitus*, et ideo *celeber*, *a multis quæsitus*, valet.

5. καθυγειάσει B. καθυγιασμὸς alibi invenitur, sed non καθυγιάζω.

7. ἀκέστωρ est Phoebi epitheton ap. Eurip. Andr. 900.

ἀκεστορίη est ars medendi ap. Apollon. Rhod. II. 512.

9—11. In his versibus verba non cohærent, sed sensus satis patet: 'Quotidie anum frequentabat, et ungebat ejus oculos, et vinculo tegebat, ita ut videre nequiret.'

22. ἐβούλετο οἱ B.

25. ταῦτα pro τάδε metrum poscit.

Vv. 1. 7—10. 13. 15. 18. 20. 21. 24. 27. 28. 30—32 formam metricam conservant. conf. fab. 21. p. 15. 291. Cor.

FAB. XIX.

δορὴν λέοντος οἱ κύνες ποθ' εὑρόντες
ταύτην διεσπάραττον οἱ θρασεῖς γνώμην.
ἰδοῦσα κερδὼ τὴν κυνῶν ἀναιδείην,
ἀλλ' εἴπερ ἦν, ἔφησε, λὶς μετὰ ζώντων,
τότ' ἂν ἔγνωτε τοὺς ὄνυχας λεοντείους
ὑμῶν ὀδόντων ὅσσον εἰσί γε κρείττους.
τοῦτ' εὖ ἂν εἴποις ἀσθενέσσιν ἀνθρώποις
κακηγοροῦντας κατ' ἐρημίην κρείττω.

8. Lege κακηγοροῦσι. Metrum ubique, exceptis vv. 5 et 8, constat. Conf. fab. 376. p. 242. Cor.

FAB. XX.

δράκων κἀείτης συμπλακέντες ἀλλήλοις
ἐμάχοντο δεινὸν τίς τὸν ἄλλον αἱρήσοι.
τὸν γοῦν ἀείτην ὁ δράκων περιειλήσας
σφίγγων κατεῖχεν ὡς μικρὸν κἀποπνῖξαι.
ἰδὼν γεωργὸς, καὶ πλοκὴν δρακοντείην
λύσας, ἀφῆκεν ἀνέτως τὸν ἀείτην.
βαρὺν δὲ θυμὸν εἶχε πρὸς τοῦθ' ὁ δράκων,
ἰόν τ' ἐφῆκε τῇ πόσει γεωπείνου.

ἀγνοῶν δ' ἐκεῖνος ὡς ἔμελλ' ὕδωρ πίνειν,
ἀετὸς ἐπιπτὰς καὶ πτεροῖσι πατάξας
ἔρριψε τὴν κύλικα γηπόνου χεῖρας,
κἄσωσε τὸν σώσαντα, χάριν ἀμείψας.

2. τίς ἂν ἄλλον B.
3. περειλήσας B.
6. Vide Hesych. in ἀνετῶς.
11. χέρρας B. conf. f. 81. v. 16. Sensui aliquid deest.

Vv. 2. 4. 5. 8 metra retinent. cf. fab. 303. p. 198. Cor. Hanc fabulam a Stesichoro repetiit Crates Pergamenus, teste Æliano, De N. A. XVII. 37. vide Apostol. I. 78.

FAB. XXI.

ἐργατίναι μέλισσαι ὑπὸ δρυὸς ῥίζῃ
κηρὸν κατειργάζοντο, συλλέγουσ' ἄνθη.
ποιμήν τις αὐτὰς εἶδεν ἡδυουργούσας.
λαβεῖν ἐγνώκει κηρὸν ἐμπλέων ἥδους.
αὗται περιίπταντο, κἀλλεπαλλήλως
κέντροις ἔπαιον, τῆς κλοπῆς ἀποστῆσαι.
τέλος δ' ὁ ποιμὴν, παιόμενός γε τοῖς κέντροις,
ἄπειμι, φησὶ, καὶ μέλιτος οὐ χρήζω,
εἰ δεῖ μελισσῶν ἐντυχεῖν με τοῖς κέντροις.
ἀλλοτρίων ἀπόστειχ', εἰ θέλεις τι μὴ πάσχειν.

1. 'πο B.
2. συλλέγουσαι, cum ultimæ apocopâ, ferri nequit. cf. fab. 78. v. 5.

5. ἀλλεπάλληλος et ἀλλεπαλληλία inveniuntur. — Vv. 3. 6. 9 metrum retinent. cf. fab. 302. p. 198. Cor.

FAB. XXII.

ἐς θῖνα πόντου ναυηγὸς ἐξεβράσθη,
καμὼν δὲ πολλὰ τῷ κόπῳ κατευνήθη.

μετὰ δὲ μικρὸν ἐξαναστὰς τοῦ ὕπνου
ἐπαιτιάζων κατεμέμφετο θαλάσσῃ,
φάσκων ἀπατᾶν πρᾳότητι τοὺς ναύτας,
ὄψει γε μούνῃ καθ' ἣν δοκεῖ γαληναίη,
δεχθεῖσα δ' αὐτοὺς κύμασιν καταφθείρει·
ἡ δὲ πρὸς αὐτὸν τοιάδ' ἀντεπημείφθη·
ὦ οὗτος οἶδμα πόντιον περῶν ναύτα,
μὴ δῆτ' ἔμοιγε, τοῖσι δ' ἀνέμοις μέμφου.
ἐγὼ δέ τοι πέφυκ' ἐς ἀεὶ γαληναίη,
οἵαν ὁρᾷς πέλουσαν τήνδε καθ' ὥρην.
αἴφνης δ' ἐκεῖνοι προσπεσόντες λαβρώδεις
ἐξαγριοῦσι τὴν κυμῶι θαλασσαίην.
τοῖς δρῶσιν, οὐχὶ τοῖσιν αἰτίοις, μέμφου.

1. *ἐξεβράσθη*: cf. *εἰσεβράσθη*, f. 73. 6.
4. *ἐναιτιάζων* B.
14. *κυμῶι*, vox corrupta, quam emendare nequeo. — Vv. 2. 7—9. 15 metra conservant. cf. fab. 247. p. 162. Cor. Eadem pæne fabula est apud Babrium ipsum, I. fab. 71. ubi tamen agricola, non naufragus, cum Fortunâ colloquium habet.

Maris responsum a Solonis disticho manavit (p. 21. ed. Schneidewin.):
ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.
Eandem sententiam expressit Herodotus VII. 16 in Artabani ad Xerxem oratione, et repetiit Cicero pro Cluent. c. 49.

FAB. XXIII.

ἐκκλησίην κήρυττε πᾶσι τοῖς ζώοις
ὄνος βαρύφωνος κἀγέρωχον ὀγκάζων.
ὁμήγυρις δ' ἦν ὡς ἄνακτ' ἀναρρῆσαι,
ὃς ἂν δικαίως ἀλόγων δυναστεύσῃ.
πίθηξ δ' ἐν αὐτοῖς εὐκρότως ἀνορχεῖται,
κἀνηγορεύθη κοίρανος πίθηξ ζώων.

φθονεῖ δ' ἀλώπηξ, καὶ τοδὶ πανουργεύει.
κρέας θεήσασ' ἐμπεπαρμένον λίνοις,
ἀπῆγε τὸν πίθηκον εἰς δόλον πάγης.
εὑρήεμαι τ', ἔλεξεν, ἄπλετα πλούτη,
γέρας προσῆκον ἄναξι, τεθμὸς ἀνθρώπων,
πίθηξ πεπαγίδευτος. κερδὼ καγχάζει·
εἶτ', ὦ πίθηκε, τοῖος ὢν δυναστεύσεις;
πράττων ἀνήκοντ', ἴσθι μὴ κακῶς πράξων,
ὑπέρβιον δὲ παμμέγα βλάβος δώσει.

2. ὀγκάζω, nova verbi forma, pro ὀγκῶμαι.
4. ὅσ' ἂν B.
8—12. In his versibus barbarismos intactos reliqui. De λίνοις priori productâ vide inf. fab. 69. v. 7. — In vv. 1. 3. 5—8. 13—15 metrum satis constat, verum locutio a Babrianâ pessundata est.

FAB. XXIV.

Ζεὺς καὶ Προμηθεὺς καὶ Τριτωγενὴς κούρη
ἕκαστος ἐγνώκεισαν ἕν τι ποιῆσαι·
ταῦρον μὲν ὁ Ζεύς, ὁ Προμηθεὺς δ' ἀνθρώπους,
οἶκον δ' Ἀθηνᾶ· χὴ κρίσις δὲ τῷ Μώμῳ.
ὁ δὲ φθονήσας πᾶσι τοῖς θεῶν ἔργοις,
ὁ Ζεὺς μὲν ἡμάρτηκεν, εἶπε, τοῦ ταύρου·
δέων κέρατ' ἄνωθεν ὀμμάτων θεῖναι,
αὐτὸς ὑπέθηκε ταῦτα τῶν κερῶν κάτω.
ὁ δὲ Προμηθεὺς ὡς φρένας ἀνθρωπείας
ἔξωθεν οὐκ ἤρτησ', ὅπως πονηρεύων
μηδεὶς λάθοι καὶ τοὐμφανὲς καθεστήκοι,
ὅτου τις ὡς ἕκαστος ἐνδεὴς εἴη.
οὐδὲ τὸ Τριτωγενῆος ἔσχεν ἀμώμως·
ἔδει γὰρ αὐτὴν οἶκον ἀστάτως κτίζειν,

τροχοὺς ὑποθεῖσαν, ὡς, ἐὰν παροικήσῃ
τῶν τις πονηρῶν, ῥᾳδίως ἀποσταίη.
ἐχώσατο Ζεὺς ἐν δίκῃ γε τῷ Μώμῳ
οἷα φθονοῦντι τοῖς θεῶν καλοῖς ἔργοις.
πολλὴ μὲν, ὦ παῖ, τοῦ λόγου 'στὶν ἡ γνώμη,
ἧς ἄν σε ταύτης μηδαμῶς λάβοι λήθη.
ἀεὶ γὰρ εὖ πράττουσι θεοὶ τὰ πρὸς ἀνθρώπους,
ἀλλ' οὐδὲ τούτων τοῖς κακηγόροις φειδώ.
εἰ δ' οὖν θεοί περ οὔτι Μῶμον ἀπέδραν,
τί ᾿ν βροτῶν τις οὐ πάθοι παρὰ Μώμων;

1. Forma Τριτωγενὴς non alibi comparet: vid. Aristoph. Eq. 1189.

4. ἐπὶ in text., δὲ τῷ in marg. B.

7. Sensus contrarium poscit: nempe: δέων ὄμματα ἄνωθε τῶν κεράτων θεῖναι.

10. ἤρτησεν B.

11. καί γ' ἐμφανὲς B.

20. ταύτης redundat. — In vv. 2—7. 10—12. 14. 16—20. 22 metrum bene se habet. conf. fab. 190. p. 119. Cor. Dicterium Momi de tauro ex Æsopo citat Aristoteles De An. Part. III. 2. sed cornua humeris infigi debuisse affirmat. Eandem fabulam tangit Lucianus Nigrin. 32.

FAB. XXV.

ἦν τις συνάγων λαὸν ἐς μάχην κῆρυξ,
μάχης ἄπειρος, ἀλλὰ καλὸν σαλπίζων.
ὅς γε κρατηθεὶς τοῖς λαβοῦσιν ἐξηύδα·
μὴ δὴ κτάνητέ μ'· οὐδοτιοῦν ἐπεπράχειν.
οὐ γάρ ποτ' αὐτὸς ἐν πολυκλόνῳ μάχῃ,
ἀλλ' οὐδ' ἐμή τινα πώποτ' ἔκτανεν σάλπιγξ·
κοὐδέν τι πλεῖον τῆσδ' ἐγὼ φέρω πλούτου.
οἱ δὲ πρὸς αὐτὸν ταῦτα νηλεῶς ηὔδων·
τούτου χάριν γε καὶ μάλιστα τεθνήξῃ.

ἄναλκις αὐτὸς ἐς φόνον καλεῖς ἄλλους.
ὁ δρῶν ἐν οἷς τέθνηκα, κεῖνος ὁ κτείνων.

6. σάλπιξ B.

7. τοῦδ' ἐγὼ φέρω χαλκοῦ ex paraphrast. legendum videtur.

9. Conf. inf. f. 81. v. 2. — Vv. 2—4. 7—11 metrum conservant. conf. fab. 142. p. 84. 340. Cor.

FAB. XXVI.

Ἡρακλέης ὥδευέ ποτε στενὴν ῥύμην.
χαμαὶ δεδόρκει χρῆμ' ἐοικὸς ὂν μήλῳ,
ῥοπάλῳ τ' ἐπειρᾶτ' αὐτὸ κατεπιτρίβειν.
τὸ δ' οὖν παταχθὲν αὐτίκ' ἤρξατ' οἰδαίνειν.
ὡς δ' εἶδε πλεῖστον εὐθέως ἐπαυξῆσαν,
ἐπέκειτο μᾶλλον τοῦτό γ' ἐν βίῃ παίων.
τὸ δ' αὖ φυσηθὲν εἰς μέγιστον ὠγκώθη,
ὁδόν τ' ἔφραξεν οὐκ ἐῶν διαβαίνειν.
Ἡρακλέης θαύμαινεν οἷον συμβαίη.
ῥίψας ῥόπαλον ἕστηκε· ποῖ γὰρ ἂν ἤει;
αἴφνης δ' Ἀθήνη τῷδ' ἐπῆλθεν ὀφθεῖσα·
πέπαυσο κάμνων, Ἡρακλῆς, καλῶς τ' ἴσθι.
ἔρις τὸ φανθέν ἐστιν, ὃ βλέπεις ἤδη.
ταύτην δ' ἄμαχον ἢν ἐᾷς ὡς ἦν πρώην,
μενεῖ γ' ἀναυξής, ἐν δὲ ταῖς μάχαις οὕτως
ὡς εἶδες ἐξογκουμένη κρατεῖ πάντων.

1. ῥύμη in hoc sensu apud seriores tantum reperitur. Schleusner Lex. N. T. in v.

15. ἀναυξής. hoc vocabulo Aristot. H. A. VI. 15, 4. et Theophrast. Caus. Plant. IV. 6, 3. p. 506. Schneider. utuntur. — Vv. 2—6. 11—13. 15. 16 formam choliambicam retinent. conf. fab. 308. p. 203. Cor.

FAB. XXVII.

Ἡρακλέης κέκλητό ποτ' εἰς θεῶν δείπνους,
ἤδη θεωθεὶς ὁ πρὶν ἐν βροτοῖς ἥρως.
θεῶν ἑκάστῳ προφρόνως συνωμίλει,
καὶ δὴ τελευτῶν Πλοῦτος εἰσεληλούθει.
ἥρως δ' ἀπηξίωσε τῷδ' ἔτι φθέγξαι,
μηδὲ προσειπεῖν ὥς γε πᾶσι τοῖς ἄλλοις.
ὁ Ζεὺς ἐθαύμασ' Ἡρακλέην, ἀνηρώτα
τί δή ποτ' ἄλλους μὲν θεῶν προσειρήκοι,
μόνον δὲ Πλοῦτον οὐδὲ γρῦ προσφωνήκοι.
ὁ δὲ πρὸς αὐτὸν τοιάδε προσημείφθη·
ἔγωγε τοῦτον κἀπὶ γῆς ὢν ἐστύγουν,
ὁρῶν ἀεὶ συνόντα τοῖς πανούργοισιν.

5. φθέγγω pro φθέγγομαι est ignotum.

9. προσφώνεικ B.

12. τοῖσι πανούργοις B. vid. sup. f. 13. v. 3. — Vv. 2--10. 12 metrici sunt, verum διασκευαστοῦ vestigia exhibent. cf. fab. 191. p. 121. Cor. Phædr. IV. 12.

FAB. XXVIII.

ἤριζε μηλέη τε καὶ ῥόη κάλλους,
ἑκατέρη δ' ἐνίστατο δυσμενεῖ γνώμῃ.
γείτων δ' ὑπῆρχε βάτος ἡ ἀκανθόπληξ.
ἀκούσασ' ἔριδος εἶπε τῇσι κομπώδη·
παυσώμεθ' ἔριδος, ὦ φίλαι, περὶ κάλλους.
μῦθον λέγοις ἂν πρὸς μικρὸν ἐν ἀρίστοις
αὐτὸν θέλοντα μωρίᾳ παρεμβάλλειν.

4. Lege ἔριδος ἀκούσασ' εἶπε.
7. μωρία B. Metrum primus et ultimus versus conservant. conf. fab. 50. p. 31. 307. Cor. et Bab. I. fab. 39.

FAB. XXIX.

ἦσάν ποτ' ἄνδρες ἐπ' ἔργα τινὲς ἐκ κώμης.
κατ' οἶμον αὐτοῖς οὖσιν ἐξαπιναίως
κόραξ ἐπέπτη θατέρην πηρὸς γλήνην.
ὁ μέν τις αὐτῶν σφᾶς ἔφη ἐπανακάμπτειν,
μὴ γὰρ τὸν οἰωνὸν σφὶν αἴσιμον φαίνειν.
ὁ δέ τις πρὸς αὐτὸν οὐκ ἔφησ' ἄτερ μούσης·
καὶ πῶς ἂν ἡμῖν αἴσιόν τι μαντεύσοι,
ὃς τὴν ἰδίαν πήρωσιν οὐ προεγνώκει,
ὅπως ἑαυτῷ τὰς κόρας προφυλάξοι;

4. 'πανακαμπτειν B. 6. οὐ ἔφησ' B. ib. οὐκ ἄτερ μούσης. conf. Bab. I. fab. VIII. 3. οὐκ ἄτερ μούσης. XV. 12. εἶπεν ἀγρίῃ μούσῃ. et sup. f. 20. v. 20. Vv. 3. 5. 6. 7 metra retinent. conf. fab. 250. p. 164. Cor.

FAB. XXX.

ἰκτῖνος ἔπτη γῆθεν ὄφιν ἀναρπάσας.
ὁ δὲ στραφεὶς ἔκτεινεν εὐθέως πλήξας,
εἰπὼν πρὸς αὐτὸν λοίσθια πνέοντ' ἤδη·
καὶ τί πεπονθὼς οἷον ἐξεφρενώθης
ὑφ' οὗ πρὸς οὐδὲν ἐβλάβης ἀδικῆσαι.
ὅμως πέπονθας ἃ δρᾶσαί μ' ἐβούλευσας.

4. Sensus τοῖον poscit: hoc est, τοῖον ἐξεφρενώθης ὥστε ἀδικῆσαι. ib. voc. ἐκφρενοῦν non alibi invenitur. Hinc fortasse Corais conjectura, μὴ 'κφρενωθείην ap. Bab. I. fab. 101. 5. recipienda est. — Vv. 2 et 3 formam choliambicam conservant. conf. f. 404. p. 264. Cor.

FAB. XXXI.

ἴλη ποτ' ἀγέρωχος ἦρχετ' εἰς κώμην,
τῶν ψευσμάτων ἄγερμα πάντα κρατούντων.

στολὴν μὲν εἶχε ποικίλην τε πορφύρην,
ἵπποι δ' ἐκοσμέοντο φαλάροις χρυσοῖς.
αὐτοῖς δ' ἐφείπετ' οὐλαμὸς ἀναιδείης,
δόλου τ' ἀπάτης τε καὶ πανουργίης πάσης.
καὶ δὴ συνηβόλησαν καθ' ὁδὸν κούρῃ.
λιτῶς μὲν ἥδ' ἔσταλτο τοῖς χιτωνίσκοις,
καί πως πενιχρῶς, ἀλλά τι σεμνὸν ἐσχήκει.
ἦν δ' ἡ τάλαιν' ἄσιτος ἐκ χρόνου πλείστου.
προσεῖπε δ' αὐτῇ ψεύσματ', ἠδ' ἀνηρώτα
ποῖ γῆς τροχάζοι καὶ χάριν τίνος βαίη.
ἡ δ' εἶπε· σύγγνωτ', ἄνδρες, ἤν τι μὴ λέξω
ἄσιτος οὖσα κἄποτος ἐκ χρόνου πολλοῦ.
τὰ δὲ πρὸς αὐτὴν ὧδ' ἠμείβετο ψεύδη·
ἕπου μεθ' ἡμῶν. ἔστι πλησίον κώμη,
μικρὰ μὲν οὖσα, εὖ δ' ἔχει ἐπιτηδείων.
καὶ πανδοκεῖον ὄψ' ἔχον τὰ πρὸς θοίνην.
σύνδειπνος ἡμῖν ἐλθὲ καὶ κορεσθήσῃ.
ἡ δ' ἠκολούθει τοῖσιν ἐν κατηφείῃ
ἐς πανδοκεῖον, κοὐδὲν αὐτοῖς εἰρήκει.
ἐλθοῦσι δ' αἶψα πανδοκεὺς παρεκτείνει
τράπεζαν αὐτοῖς βρωμάτων καλῶν πλήρη.
φαγόντες οὖν ἅπαντες ἐς κόρον θυμοῦ,
ἵππους χαλινώσαντες ἤθελον φεύγειν.
αἰτεῖ δ' ἐπιστὰς πανδοκεὺς τὰ τῆς θοίνης.
τὰ δ' ἠγανάκτουν οἷς ἐκεῖνος ἀπῄτει,
καὶ δόντα μηδὲν εἶπε μηδ' ὅλως ὀφλεῖν.
μάτην ὁ δ' ἱκέτευε τέκν' ἀναιδείης.
τὰ δ' ἰταμῶς ἔφασκεν ὡς πᾶν εἰλήφει.
δεδωκέναι γὰρ ἀξίως τὰ τῆς θοίνης.

μάτην τὰ δαῖτρα πανδοκεὺς ἐπεζήτει,
οὐκ ἦν δὲ πληθὺν πρὸς βίην ἀναγκάζειν.
καὶ τί δ' ἂν ἔδρασ' εἷς ἐὼν ὅλην ἴλην;
ἐφίσταθ' ἡ σύνδειπνος ἐν πύλης βηλῷ,
ἔριν βλέπουσα, καί τ' ἄνανδος εἱστήκει.
ὁ δαιταλεὺς δὲ τοῦ λαβεῖν ἀπεγνώκει,
βοῶν τ' ἔφησε· ποῦ σύγ' εἶσθ', ἀληθείη;
ἡ δ' εἶπεν· ἄνερ, πάρειμι· τί δὲ ποιήσω;
τροφῆς ἐγὼ γὰρ οὐδ' ὅλως ἄνευ τούτων
καὐτὴ μέτεσχον, καὶ πάλαι γε τεθνήκειν.
μὰ τοὺς καθ' ὑμᾶς νῦν ἐόντας ἀνθρώπους
οἵ χαίρετε ψεύδεσσι κοὐκ ἀληθείῃ,
ἀλλ' ἔρρετ' οἰμώξοντες ἐργάται τούτων.

11. Lege αὐτὴν.
26. τὰ τῆς θοίνης, epularum pretium.
36. Quid ἔριν hic significet non video. Sensus κάτω βλέπουσα, aut tale quid, poscit.
42—44. Sensu carent. — Vv. 3. 8. 10—13. 16. 18—26. 28. 29. 31—33. 35—38. 40—44 formam metricam exhibent. Hujus fabulæ versio pedestris non extat. conf. Bab. I. fab. 57. et inf. fab. 52.

FAB. XXXII.

κάπρος τε καὶ λῖς ἦλθον ἀμφότερ' εἰς κρήνην.
θέρους γὰρ ὥρῃ πάνθ' ἁπλῶς λυπεῖ δίψα,
γέην τε καὶ ζῷ ἠδὲ φυτὰ κἀνθρώπους.
ἤριζον οὖν τίς πρῶτος ὕδωρ πίοι.
ἔρις δὲ λυγρὴ, κεἰς φόνους ἂν ἠλάκει,
εἰ μὴ καμόντες τῆσδε μικρὸν ἀπέσταν,
λαβεῖν ἀναψύχωσιν εἰς ἀναμάχην,
δεινόν τι προσβλέποντες ἀντί' ἀλλήλοις.

ὅμως δὲ γῦπας ἑωράκεσαν ἐξαίφνης,
οἵπερ ἄνωθεν τὴν ἔριν παλευόντων
βλέποντες ἀνέμιμνον αἴσιον θοίνην.
τὸν γὰρ πεσόντα βρῶμα θυμαρὲς θήσειν.
τούτους ἰδόντες οἱ καμόντες ἐκ πάλης,
δεῦρ' ἴθι, μάχης λήγωμεν, εἶπον, ἀλλήλων.
φίλους γὰρ εἶναι κρεῖσσον ἢ γυψὶν θοίνην.
οὕτω μὲν, ὦ παῖ, καὶ σὺ φεῦγ' ἔριν λυγρήν.
ἀεὶ γὰρ αὐτὴ δώματα καὶ πόλεις φθείρει.

1. De ἀμφότεροι cum ultimâ elisâ conf. inf. f. 78, 5.
8. ἀντίον ἀλλήλοις B.
15. γύπεσσιν B.
17. πόλις φείρει B. — In vv. 2. 8. 12. 14—16 metrum servatur. conf. f. 223. p. 146. Cor.

FAB. XXXIII.

κύκνου κόραξ τις τῇ χρόῃ παρεξήλου,
τοῦτον νομίσας λευκόχρουν γεγεννῆσθαι,
εἰ γὰρ ἐν λίμναισι καὶ ποταμοῖς ἐπιπλώῃ.
ἀφῆκε βωμοὺς ἔνθα σῖτον ἐσχήκει,
κἀπὶ δίαιταν ἦλθε λιμναίην κύκνου.
χρόην μὲν οὐκ ἤμειψε σῶμα φαιδρύνων,
τροφῆς δ' ἀμοιρῶν ἐξόλωλε λιμώττων.
δίαιτα φύσιν οὐδαμῶς μεταβάλλει.

1. Quod ad syntaxim attinet, conf. inf. f. 77, 1. 4. ἐνσχήκει B.
Vv. 1. 4. 6. 7 metra retinent conf. fab. 305. p. 200. Cor.

FAB. XXXIV.

κύων τις ᾠὰ καταπίνειν εἰώθει.
ἰδὼν δὲ κόχλον ᾠὸν αὐτὸν ᾠήθη,

ὃν δὴ παρ' αὐτὰ καὶ χανὼν καταπίνει.
βαρούμενος δὲ κοιλίῃ τε καὶ σπλάγχνοις,
ἐγὼ γάρ, ἔφη, δίκαια ταῦτα νῦν πάσχω,
στρογγύλα πάνθ' ἡγούμενος ὠὰ τυγχάνειν.
τἀληθὲς αἱροῦ, μηδ' ὅπερ καλὸν δόξει.

7. αἱροῦ τἀληθὲς B. — Vv. 2. 4. 7 formam choliambicam conservant. conf. fab. 208. p. 134. Cor.

FAB. XXXV.

κοιμώμενον λέοντα ταῦρος εὑρήκως
τύψας κέρασι τοῦτον εὐθέως κτείνει.
μήτηρ δ' ἐπῆλθε καὶ τὸν υἷ' ἐπεθρήνει.
σύαγρος αὐτῆς ἦκο' αἰνὰ θρηνούσης,
καὶ στὰς ἄπωθεν ταῦτ' ἔφη· πόσαι δ' οἴει
ἄλλαι τεκοῦσαι σφέτερα τέκν' ὀδύρονται,
ἅπερ κτανόντες ἴσχεθ' ὑμέες θοίνην;
δράσαντα κακὸν ἴσθι καὶ δίκην δώσειν.

1. εὑρήκως ex paraphr. reposui, ὡράκει B.
3. υἷα 'πεθρήνει B.
4. σύαγρος hic σῦς ἄγριος valet, ut ὄναγρος ὄνος ἄγριος. ib. pro ἦκοε ᾔσθετο reponendum.
8. Ita B. in marg. In textu habet δράσας τι κακὸν ἴσθι καὶ παθεῖν μέλλεις. Si epimythium excipias, tota fabula recte servata est, et metrum retinet. cf. fab. 373. p. 240. Cor.

FAB. XXXVI.

κώνωψ προσελθὼν εἶπε λέοντι κομπάζων·
οὐδὲν φοβοῦμαί σ', οὐδ' ἐμοῦ πλέον δύνῃ.
τίς δ' ἐστὶν ἰσχύς, ὃς ὄνυξί τε ξύεις,
χὠδοῦσι δάκνεις; καὶ γυνὴ τόδ' ἂν πράττοι,

ἀνέρι γὰρ ἐριδαίνουσα τάχα τηνάλλως.
ἐγὼ δὲ λίην δυνάμει σ' ὑπερπαίω.
εἰ δ', ἐλθὲ, πειρήσωμεν ἀμφοῖν ἰσχύος.
καὶ σαλπίσας κνὼψ ἐμπέπηγεν ἀτρίχοις,
ῥῖνάς τε καὶ πρόσωπα δάκνων λεοντείας.
ὁ λῖς δὲ τοῖς ὄνυξιν αὐτὸς ἐδρύφθη
αἱμοσταγῆ πρόσοψιν, ἄχρις ἀπέγνω.
σάλπιγγι κώνωψ ᾖδε τἀπὶ τῆς νίκης,
χἴπτατο χαίρων, τὸν λέοντα νικήσας.
ἱστῷ δ' ἀράχνης ἐμπλακεὶς ἔφη· τλήμων
νικῶν μεγίστους πρὸς μικρῶν ἀποθνήσκω.
κἂν τἀσθενές τι δρᾶν ἔδοξε πρὸς κρείσσους
ὅμως δίκην δέδωκεν οἷσιν οὐκ ἔγνω.

7. Fortasse εἶ' ἐλθὲ legendum.

8. κνώψ. hac voce Nicander in Theriacis utitur.

10. ἐδρύφη B.

13. Lege χαίρων τ' ἀπέπτη.

14. ἐμπλακὴς B.

15. μικρὸς hic primam corripit. — Vv. 4. 10. 12. 14—17 metrum retinent. conf. fab. 146. p. 88. Cor.

FAB. XXXVII.

λάλος χελιδὼν πρὸς κελάρυζαν ἐξηύδα.
ἔγωγε κούρη βασίλισσ' Ἀθηναίη,
καὶ τῶν Ἀθηνῶν θυγάτηρ βασιλήων.
κλέος μέγιστον εἶλκον ἀνέρες κεῖνοι.
ὡς δ' ἄκριτ' ἐκώτιλλ', οὖσα καὶ λαλιστάτη,
καὶ Τηρέως τε τὴν βίην κατατείνει.
πρὸς ἣν κορώνη τοιάδε προσημείφθη·
ὦ Πανδιωνὶς καὐχέουσ' Ἀθηναίη,
τί δ' οὐκ ἂν εἶπες μὴ στερημένη γλώσσης,
ὅπου γε τμηθεῖσ' ἡλίκον τιτυβίζεις.

1. λακέρυζα κορώνη ap. Hesiod. Op. 759. et fragm. 50. ed. Gaisford. legitur. conf. Aristoph. Av. 612. Apollon. Rhod. III. 929. Hinc, syllabis transpositis, κελάρυζα, ut videtur, factum est.

6. τυρεως B.

10. τιτυβίζω vox hirundinis cantui propria. De fabulâ Philomelæ notissimâ, et linguæ ejus exsectione vid. Apollod. III. 14, 8. Ovid. Met. VI. 424. Hygin. fab. 45. conf. inf. fab. 90. — Vv. 4. 7—9. metra conservant. conf. fab. 423. p. 276. Cor.

FAB. XXXVIII.

λάρος ποτ' ἰχθὺν ἐκλαφύσας ἐφράχθη
βαθὺν φάρυγγα, καὶ πεσὼν ἐτεθνήκει.
ἰκτῖνος εἶδε, κἀνδίκως, ἔφη, πάσχεις,
ἔχων δίαιταν πτηνὸς ὢν θαλασσαίην.
ἔδει τὰ σαυτοῦ, μηδὲ τά γ' ὑπὲρ πράττειν·
ὃ γὰρ πέφυκας οὐκ ἂν ὠλέκοις δράσας.

3. κένδίκως B. — Vv. 2—4. 6 formam choliambicam retinent. conf. fab. 214. p. 139. 371. Cor.

FAB. XXXIX.

λειμῶνα κατ' εὐάνθεμον ἠρινῆς ὥρης
ἄφετος ἔβοσκεν ἵππος εὐτρίχου χαίτης.
ὃς οὐκ ἐβούλετ' οὐδὲν ἄλλο τῶν ζῴων
πόης μετασχεῖν ἧσπερ αὐτὸς βιβρώσκει.
ἡγεῖτο λειμῶν' οἱ μόνῳ προσανήκειν.
ἔλαφος δέ τις, καίτοι πέλουσα δειλήμων,
ᾔει παρατρώγουσα θαμὰ τῆς ποίης.
καὶ τῷ τρόπῳ σκέπτετ' ἔλαφον τιμωρήσειν.
ἄνθρωπον εἶδε, καὶ κέχρητο συμβούλῳ.
ὁ δ' ἑτοῖμος εἶναί φησίν οἱ βοηθήσειν,

καὶ παρ' ἐκείνης ἀξίαν γε λήψεσθαι
δίκην, ἐὰν χαλινὸν αὐτός τε δέξηται,
ἀναβάτην τ' ἄνθρωπον ὢν ἐπὶ νώτων.
ἔφησεν ἵππος, καὶ τὰ νῦν γε δουλεύει.
ὅρα δέ μοι τὸ φίλαυτόν ἐστιν ἡλίκης ἄτης.

1. λιμῶνα B. — Vv. 2—4. 6. 9. 10. 14 metra conservant. Hanc fabulam Stesichoro tribuit Aristot. Rhet. II. 20. Vide etiam Conon. Narr. 42. Plut. Arat. 38. fab. 313. p. 207. Cor. Horat. Ep. I. 10, 34.

FAB. XL.

λέων νοσήσας ἐν σπέει κατεκλίνθη.
παρῆσαν οὖν ἅπαντα τἄλλα τῶν ζῴων,
ἐπισκοπήσονθ' αὐτέων βασιλῆα.
μόνη δ' ἀλώπηξ ὑστέρησε τῶν ἄλλων.
εὐκαιρίης μὲν οὖν λύκος τυχὼν ταύτης,
ἀλώπεκος κατεῖπε πολλ' ἐπιβούλως,
ὡς δὴ παρ' οὐδὲν τιθεμένης τὸν δυνάστην
ζῴων ἁπάντων ἅπερ ἡ γέη φέρβει,
δέον παρεῖναι πρὸς παραίφασιν νούσου,
σοφὴν ἐοῦσαν καὶ πεπνυμένην γνώμῃ.
ἔτι τοῦ λύκου λέγοντος, ἵκετ' ἀλώπηξ·
κατήκουσεν αὐτοῦ ῥημάτων τελευταίων.
λέων δὲ θυμῷ κατέσεισε τὴν χαίτην,
ἰδὼν ἀλώπεκ' εἰσιοῦσαν εἰς ἄντρον.
σοφὴ δ' ἀλώπηξ οὐδαμῶς ἐδειδοίκει,
ἀλλ' οἱ μεταδοῦναι καὶ λόγον τ' ἐλιπάρει,
τυχοῦσα δ' εἶπε· καὶ λύκος παρειστήκει.
καὶ τίς, βασιλεῦ, τῶν ἀφιγμένων ζῴων
τοσοῦτον ὠφέλησεν, ὡς ἔγωγ' αὐτή;

πᾶσαν γὰρ, φημ' ἐγὼ, περιῆλθον χώρην,
καὶ πάντ' ἰητρὸν σοῦ πέρι διηρώτων,
εἴ πως μάθοιμι παρά του θεραπείην.
ἐξεῦρον ἀλλ' οὖν, κοὐ μάτην ἐκεκμήκειν,
φασὶ τῶν ἰητρῶν οἵ μαθόντες ἐκ πείρης,
ἄκος ἐνεργὸν τοῦ νοσοῦντος ἐσσεῖται,
ἢν ζῶντα τὴν δορὴν λύκου τιν' ἐκδείρας
θερμὴν ἐοῦσαν σὸν δέμας περιβάλλῃ.
παρ' αὐτὰ νεκρὸς κεῖτο συκοφαντήσας
λύκος, παθὼν δίκαια τῆς κακῆς γνώμης.
γελῶσ' ἀλώπηξ εἶπεν· ὦ λύκος τλήμων,
ἔδει σε τὸν λῖν μὴ κακῶς παραπείθειν,
ἀλλὰ πρὸς ὀρθὴν καὶ φιλόφρονα γνώμην.
ὁ γὰρ κατ' ἄλλου κακὸν ἐκτολυπεύων
κεῖνο πρὸς αὐτὸν ἀντεπιστρόφως βαίνει.

8—10. lupi sermonem continent.
14. *ἄντρου* B.
20. *φημὶ 'γὼ* B. in marg.
33. Voc. *ἐκτολυπεύω* ex Hesiod. Scut. 44. sumptum.—Vv. 1. 2. 4. 5. 9. 10. 14. 15. 17. 19. 23. 26. 28—30. 32. 34 formam metricam retinent. conf. fab. 72.p. 43. Cor.

FAB. XLI.

λέων Προμηθεῖ κατεμέμφετ' ἀλήκτως
ὅτι μέγαν μὲν καὶ καλὸν πεποιήκει,
καὶ τὴν γένυν τοῖς ὀδοῦσιν ὁπλίσας,
πόδας τε τοῖς ὄνυξι κατακρατύνας,
ἦδ' ἄλκιμόν τε θηρίων πλέον πάντων,
τοιοῦτον ὄντα πῶς πτοεῖ με δ' ἀλέκτωρ;
ὁ δὲ Προμηθεὺς πρὸς λέοντ' ἀπημείφθη·
τί δὴ μάτην με, θηρίον, καταμέμφῃ;

τά γ' ἐξ ἐμοῦ γὰρ πάντ' ἔχεις κατὰ μοίρην.
εἴπερ δὲ θυμός τι μικρὸν ἐμαλακώθη,
θαυμαστὸν οὐδὲν, εὖ τυχών γε τῶν ἄλλων.
εἰπόντος αὐτῷ τοῦ Προμηθέως οὕτως,
λέων ἐταλάνιζεν αὐτὸν τῆς μοίρης,
καὶ τῆς ἑαυτοῦ δειλίας κατεγνώκει,
ἀλλ' οὐδ' ἐβούλετο δειλὸς ὢν ἔτι ζώειν.
ἔχων δὲ γνώμης ὧδ', ἐλέφαντι συνήντα,
καὶ τῷ προσειπὼν συνομιλῶν εἱστήκει.
ὁρῶν δὲ θαμὰ τοῦτον ὦτα σείοντα,
τί δὴ πεπονθὼς ὦτ' ἀεὶ κινοῦντ' ἴσχεις;
τίν', ὦ φέριστε, σύ γε, φησὶ, τῶν ζῴων
φοβῇ τοσοῦτον, ὡς ἀκοὴν τεὴν σείειν;
αἴφνης κώνωπα συνέβη περιπτῆναι.
ὁρᾷς τὸ μικρὸν, φησὶ, καὶ περιβομβοῦν;
ἢν εἰςδύνῃ μου τὴν ἀκοὴν, ὁδῷ θνήσκω.
λέων ἀκούσας ταῦτα, φησὶ θαρσήσας·
τίνος χάριν δὲ βούλομαι θανεῖν ἤδη,
ἐλέφαντος αὐτοῦ τυγχάνων πολὺ κρείττων;
ὅσον δ' ἀλέκτωρ συγκρίσει γε κωνώπων,
τοσοῦτον αὐτὸς κρείττονος πέλω μοίρης.
  οὐδεὶς καθ' αὐτὸν τάλας, ἀλλὰ παρβλήδην.
παλαίφατος πέφυκε πάνσοφος γνώμη.

6. *ἀλέκτωρ* B. ib. 'Terrori sunt etiam leonibus ferarum generosissimis,' Plin. N. H. X. 24. de gallis loquens.

24. *ἢν εἰσδύνῃ μου τῇ τῆς ἀκοῆς ὁδῷ, τέθνηκα.* paraphr.

31. Hic versus cum præcedente non cohæret. — Vv. 5—7. 11. 12. 14. 19. 25—29 metrum retinent. conf. fab. 407. p. 266. Cor.

FAB. XLII.

Λίβυσσα γέρανος ἠδὲ ταὼς εὐπήληξ
χλωρὴν ἀεὶ βόσκοντο χείματος ποίην.
τέως μὲν ἦσαν εὐμενεῖς πρὸς ἀλλήλω,
ἔρις δὲ λυγρὴ δυσμενεῖς πεποιήκει,
κῆριξε τεφρῇ χρυσόταρσος εὐχροίης.
ταὼς γεράνῳ καταγελῶν ἐκωμῴδει,
καὶ κατεμυκτήριζε τῆσδε τὴν χροίην.
αὐτὸς λέγων χρύσειον ἠδὲ πορφύρης
εἶναι πτέρωμα, καθάπερ τις ἀνάκτων.
ἡ δὲ πρὸς αὐτὸν καλὸν ἀντεπεκρίθη·
καὶ μὴν ἔγωγ' ἐφίπταμαι νεφῶν ὕψη,
ἔγγιστα φωνῶν ἀστέρων σελασσόντων.
σὺ δ' οὖν σχολαίῃ κἀσθενεῖ βάσει βαίνων
χαμαὶ πτερύσσῃ, κοὐδ' ὅλως ἄνω φαίνῃ,
ἀλεκτορίσκοιν ὡς ἀλέκτωρ κοκκύζων.
εὔδοξος εἴην εἵματι τριβωνείῳ,
ἢ ζῶν ἀδόξως γαυριῶν τ' ἐπὶ πλούτῳ.

1—2. citat Suidas in *γέρανος*, qui et primum versum in *ταὼς εὐπήληξ* respicit. *ταὼς*, ut alibi apud Babrium, primam producit: vid. Part. I. fab. 65. v. 1. ib. Gruem Libycam iterum appellat Babrius inf. fab. 85. Grues ex Scythiâ ad paludes in superiore Ægypto, ex quâ Nilus fluit, migrare perhibet Aristoteles H. A. VIII. 14. Pygmæos in hac regione invenit philosophus, nempe gentem troglodytam parvæ staturæ. Grues ex Thraciâ autumni tempore ad Ægyptum et Libyam migrant, teste Æliano N. A. II. 1. III. 13. Similiter Aristoph. Av. 710. *ὅταν γέρανος κρώζουσ' ἐς τὴν Λιβύην μεταχωρῇ*, et Lucan. V. 711. ib. Minervam *εὐπήληκα* vocat Leonidas Tarentinus, Anth. Pal. VI. 120. Nonnus etiam voce utitur.

2. In editione Babr. Part. I. p. 143. *λείμακος* pro *χείματος* correxi. Hæc conjectura sensui medetur, et vox rara corruptioni obnoxia erat. Vulgata lectio ad viriditatem quam

hibernum frigus et humiditas generant, referenda est.

5. ἢ ηριζε B.

6. καταγελᾶν cum dativo apud Herodotum construitur.

11. ἐφίπταμα B.

12. σελάσσομαι ap. Nicand. Ther. 46. occurrit.

15. ἀλεκτορίσοιν B.

17. ζῆν B.

Vv. 1—5. 8. 11—17 metra conservant. conf. fab. 237. p. 230. 408 Cor. Extat altera hujus fabulæ recensio ap. Bab. I. p. 65. cum eodem pæne epimythio.

FAB. XLIII.

λύκους λύκος τις ἐκστρατηγέων ἄλλους
ἔλεξε πᾶσι θεσμὸν ἴσον ἐντάξας,
ὅπως τις αὐτῶν τί ποτ' οὖν κυνηγήσας
εἰς μέσσον ἄγῃ πρὸς διανομὴν ἄλλοις.
ὄνος δ' ἀκούσας ἀνέσεισε τὴν χαίτην.
γελῶν ἔλεξε τῷ δοτῆρι τῶν ἴσων·
καλῶς μὲν εἶπας, τοῖς λύκοις θεμιστεύων.
πῶς δ' αὐτὸς ἐχθὲς ἣν ἐθηράσω δαίτην
ἀπέθου λαθραίως τῇ παρὰ σοὶ κοίτῃ;

2. θεμὸν B. ita δεμοῦ inf. fab. 49. v. 10 et δεμὰ fab. 54. v. 13.

Vv. 1. 2. 6—8. metrum retinent. conf. fab. 235 p. 154. 380. Cor. quæ paraphrases aliquid in fine adjiciunt.

FAB. XLIV.

λύκος πλανηθεὶς ἐν τόποις ἐρημαίοις,
κλίνοντος ἤδη πρὸς δύσιν τοῦ φωστῆρος,
ὁρῶν σκίην τε δουλίχην ἑὴν οὖσαν,
λέοντ', ἔφη, δέδοικ', ἐὼν πολὺ μείζων;
πλεθρου δ' ἔχων τὸ μῆκος, οὐχὶ τῶν ζῴων,
αὐτὸς δυνάστης τῶν ὅλων γενήσωμαι.

λύκον δὲ γαυρωθέντα λῖς ἐφορμήσας,
καὶ συλλαβὼν κατήσθι᾽· ὃς δ᾽ ἐκεκράγει·
οἴησις ἡμῖν αἰτίη γ᾽ ἀπωλείας.

2. ἤδη κλίνοντος B. ib. vox φωστῆρες *astra* significat, in Constantini Rhodii epigrammate ad B. Virginem, Anth. Pal. XV. 17. Conf. Schleusner Lex. Sept. in v.

Omnes versus, præter v. 4. metri leges observant. Conf. fab. 409. p. 267. Cor.

FAB. XLV.

λύκος κύνεσσι δηχθεὶς ἦν νοσηλεύων.
οἶν περῶσαν ᾔτεε τήνδ᾽ ἄκος δίψης.
ἦν γὰρ πίδαξ τις πλήσιον ῥέων ὕδωρ.
εἰ γάρ συ βούλει νᾶμα, φησὶ, μοι δοῦναι,
αὐτὸς ἑτοίμην καὶ τροφὴν προσευρήσω.
ἀλλ᾽ ἢν ποτόν σοι δῶ, σὺ καὶ τροφήν μ᾽ ἕξεις.
ἐχθροὺς ἐνεδρεύοντας ἀεὶ τάχος φεύγειν.

2. ᾔτεει B. τήνδε abundat.
3. ὕδωρ penultimam secundum usum epicum in hoc versu producit.

Vv. 3. 4. 6 metrum retinent. conf. fab. 106. p. 59. Cor.

FAB. XLVI.

μεγέθει κολοιὸς ὑπερεῖχε τῶν ἄλλων.
χὐπερφρονήσας τῶν ἑαυτοῦ συμφύλων
προείλετο τοῖς κόραξι φυλέτης εἶναι.
καὶ δὴ προσελθὼν ἠξίου διαιτᾶσθαι
ὁμοῦ σὺν αὐτοῖς, ὡς σύναυλος ἀπ᾽ ἴσων.
οἱ δ᾽ ἀγνοοῦντες εἶδος, οὐδὲ τῆς φωνῆς
ἐπαΐοντες τοῦδε τῆς ὁμοφθόγγου,
παίοντες ἐξέωσαν αὐτὸν ἐν τάχει.

ὅθεν διωχθεὶς πρὸς ἰδίους ἐπανήει.
οἱ δ' ἀγανακτήσαντες οἷσπερ ἀπέστη, —
ὕβριν γὰρ ᾠήθησαν ἃ πεποιήκει, —
ἀπηξίωσαν αὐτὸν ὑποδειχθῆναι.
οὕτω κολοιὸς ἀγενὴς καθεστήκει.
οὐδεὶς παρ' ἀλλοτρίοισιν εὐδοκιμήσει.

2. συμφύλλων B.
3. προείλετοι B.
13. ἀγενὴς hic ἄπολις valet: nullius gentis civis.

Vv. 2. 4. 6. 7 metra conservant. conf. fab. 101. p. 57. Cor. Eustath. ad Od. p. 1746.

FAB. XLVII.

μέλιτος ἐκχυθέντος ἐν ταμιείῳ
κατήσθιον τοῦθ' αἱ περιπτᾶσαι μυῖαι.
ἡδὺς δ' ὁ καρπὸς οὐκ ἐᾷ φυγεῖν ταύτας,
οὐδ' ἠδύναντο πάλιν αὖ ἀναπτῆναι,
δεινῶς ἐν αὐτῷ τῶν ποδῶν κρατηθέντων.
κἄφασκον ἀποπνιγόμεναι πρὸς ἀλλήλας·
αἳ δύσμοροι θανούμεθ' ὑπὸ βραχείης
φεῦ ἡδονῆς οἴκτιστον ἐκπλανηθεῖσαι.

1 et 6. ταμηείῳ et κἔφασκον B.

Vv. 2. 3. 5. 8 metra retinent. conf. fab. 89. p. 52. 318.

FAB. XLVIII.

μήνη ποθ' ἱκέτευε μήτερ' αἰδοίην
ὅπως ἑαυτῇ σύμμετρον χιτωνίσκον
ὑφαίνοι· πρὸς ἣν μειδήσασ' εἶπεν ἡ μήτηρ·
καὶ πῶς χιτὼν σύμμετρος ἂν ὑφανθείη
ὧδ' ἀστατούσῃ; νῦν μὲν οὖν ὑπερφαίνῃ,
πάμμηνος οὖσα· πλησιφαὴς δ' ἐπὶ τούτῳ·

ἔπειτα δ' ἀμφίκυρτος ἠδὲ μηνώδης.
ἀεὶ γὰρ αὔξεις φθινύθεις τε πάμμηνος.

3. ὑφάνοι B.
6. πλησιφαής, ἡ πληροσέληνος ἡμέρα, Phot. Suid. et Hesych. in v. Est vox serioris Græcitatis.
8. παμμήνως B.
Vv. 1. 2. 5. 7 metrum conservant. cf. Plut. Sept. Conv. 14. p. 157.

FAB. XLIX.

μῦς ἐξ ἀρούρης βατράχῳ κακῇ μοίρῃ
ἐφιλιώθη, καὶ κακῶς ἐτεθνήκει.
τὸ πρῶτον ἦλθον δεῖπνον εἰς ἀρουραίου.
ἔπειτ' ἀπῆλθον βατράχου πρὸς οἰκήσεις.
ὁ βάτραχος δ' οὖν οὐ καλῶς ἐβουλεύθη·
λίνῳ γὰρ ἑαυτῷ τὸν μυὸς πόδα συνδήσας
ἀπῆγε τὸν μῦν χεῖλος εἰς τὸ τῆς λίμνης,
καὶ συγκαθείλκυσ' ἐς βάθη τὰ λιμνώδη.
ὃς δὴ φυσηθεὶς νάμασιν ἀπεπνίχθη,
τέθνηκε δ' οὕτως ἐκ δεσμοῦ βατραχείου.
ἐπιπολαίως οὖν φορούμενον σάλῳ
ἰκτῖνος ἰδὼν τοῖς ὄνυξιν ἁρπάζει.
καὶ βάτραχος δ' ὅμως συνείλκεθ' ὁ δεσμώτης,
διπλοῦν τε δεῖπνον ηὐτρέπισεν ἰκτίνῳ,
κεῖληφεν οὕτω τἀπίχειρ' ἀβουλείης.

10. δεμοῦ B.
Vv. 1. 3—5. 7. 8. 15 metrum retinent. cf. fab. 245. p. 161. Cor.

FAB. L.

νέος τις ἄσωτος καταφάγων τὰ πατρῷα,
ἱματίου τε καὶ μόνου περιλειφθέντος,

χελιδίον εἶδεν ἀμφιποτῶσαν ἀώρως.
ταύτης δ' ἀκούσας μικρὰ τιττυβιζούσης,
ἤδη προσελθεῖν ᾤετ' ἠρινὴν ὥρην,
χιτωνίου τε μηκέτι δεήσεσθαι.
φέρων ἀπεμπώλησε καὶ τόδ' ὡς τἄλλα.
μετὰ δὲ μικρὸν χειμάτων ἐπελθόντων,
ἠδὲ σφοδροῦ πνεύσαντος ἀνεμοῦ τ' αἴφνης,
τλήμων χελιδὼν τῷ ψύχει γ' ἐτεθνήκει.
ταύτην δὲ μικρὰν κατιδὼν νεηνίης,
τάλαιν', ἔφησεν, οἶα δὴ κατειργάσω,
ἐπιφανεῖσα πρὶν ἔαρ ἐποφθῆναι,
αὐτή τε κἀμ' ὄλωλας ὤλεσας μάτην.
ἀσωτίη κάκιστον ἠδ' ἀβουλείη.

4. conf. inf. fab. 90. v. 37. Versum citat Suidas in *τιττυβίζετε*, qui *τιττυβιζούσης* habet, et Babrium de lusciniâ hac voce uti ait. Vide Toup. Emend. in Suid. vol. II. p. 252 a Porsono correctum, vol. IV. p. 476.

8. *χειμάντων* B.

9. *τε* et *αἴφνης* abundant.

13. *ἐποπτάνομαι*, 'conspicior' ex Niceta citatur.

Vv. 4. 5. 7. 15 metrum retinent. conf. f. 248. p. 163. 385. Cor.

FAB. LI.

ὁ Ζεὺς γράφοντ' ἐν ὀστράκοισιν Ἑρμείην
βροτῶν πονηρῶν τὰς ἁμαρτάδας πάσας
ἐκέλευσεν εἰς κιβωτὸν αὐτὰ σωρεύειν,
καλῶς ἁπάντων βιοτὴν ἐρευνήσας,
ὅπως ἑκάστου τὰς δίκας ἀναπράσσῃ.
τῶν ὀστράκων δὲ κεχυμένων ἐπ' ἀλλήλοις,
τὸ μὲν βράδιον, τὸ δὲ τάχιον ἐμπίπτει
εἰς τοῦ Διὸς τὰς χεῖρας, εἴποτ' εὐθύνοι.

τῶν δὴ πονηρῶν οὐ προσῆκε θαυμάζειν,
εἰ θᾶσσον ἀδικῶν ὀψέ τις δίκην δώσει.

Hæc fabula ex recensionibus pedestribus antea restituta erat: vid. Bab. f. 128. et fab. 366. p. 238. 412. Cor.

4. metrum sanari potest τοὺς βίους pro βιοτὴν rescripto. Verum καλῶς sententiæ non congruit, et versus, cujus apud paraphrastas nullum vestigium extat, a librario adjectus esse videtur.

8. εὐθύνει B. ex fab. ped. correxi.

10. Pro δίκην δώσει fab. Vat. κακῶς πράσσει habet.

FAB. LII.

ὁδοιπορῶν ἄνθρωπος εἰς ἐρημαίην
ἑστῶσαν οἵην εὗρεν ἐν κατηφείῃ
σεμνὴν γυναῖκ', ἀλλ' οὐ δοκοῦσαν εὖ πράττειν.
καί φησιν αὐτῇ· τί πέπονθας, ἀρίστη;
καὶ τίς ἂν εἴης; ὧδε τοῦ χάριν μίμνεις;
ἐγὼ μὲν, εἶπεν, εἰμί σοί γ' Ἀληθείη.
πρὸς ταῦτ' ἐθαύμασ' ὁδοίπορος, κἀνηρώτα
τί πόλεις ἀφεῖσα τὴν ἐρημίην ναίεις;
ἡ δ' εὐθὺ πρὸς ταῦτ' εἶπεν ἡ βαθυγνώμων·
ἐν τοῖς πάλαι γὰρ παρ' ὀλίγοισι τὰ ψεύδη,
νῦν δ' εἰς βροτοὺς ἅπαντας εἰσεληλούθει.
εἰ δ' ἐστὶν εἰπεῖν καὶ κλύειν βεβούλησαι,
ὁ νῦν βίος πονηρός ἐστιν ἀνθρώπων.

8. ναίῃς B.

12. βεβούλησαι κλύειν B.

13. ὁ νῦν πονηρὸς βίος B.

Vv. 1—3. 6. 8—13 metra retinuere. Fabula Babriana ex fab. 365. p. 237. 411. Cor. antea partim restituta erat.

FAB. LIII.

ὄϊς νομῆα τοιάδε προσεξηύδα·
κείρεις μὲν ἡμᾶς καὶ πόκους ἔχεις κέρσας,
γάλα δ' ἀμέλγειν ἐστὶ, κεἰ φίλον πῆξαι.
ἡμῶν δὲ τέκνα μῆλά σοι περισσεύει.
σὺ δ' οὖν ὁδηγεῖς πρὸς μόνην νομὴν ἡμᾶς.
πλέον γὰρ ἡμῖν οὐδέν· ἀλλὰ καὶ φορβὴν
πᾶσαν φέρει σοι γῆ τιθηνὶς ἁπάντων.
κἂν τοῖς ὄρεσσιν εὐθαλές τι γεννᾷ σοι
ζείδωρος αἴη σῶν ἀπειράτως ἔργων,
αὔρας νοτείης καὶ δρόσου πεπτωκυίας.
τοσοῦτον δ' ἡμῶν ὠφέλημα λαγχάνων,
ὅμως δὲ φέρβεις τὴν κύν' ἐν μέσοις ἡμῖν,
τρέφων, ὁποῖα σαυτὸν, εὐθαλεῖ σίτῳ.
παροῦσα δ' ἤκουσ' ἡ κύων, κἀπημείφθη·
ὦ σύγε βληχάζουσα κακόβουλον βάξιν,
εἰ μὴ παρήμην κἂν μέσαις ἐπωλούμην,
οὐκ ἂν ποθ' ὑμεῖς ἔσχετ' ἄφθονον ποίην,
κἂν ἦτε θοίνη θηρίοις ὀρειβάτοις.
περιτρέχουσα παντόθεν δὲ κωλύω
δρηστῆρα λῃστὴν καὶ λύκον διωκτῆρα.
 πρὸς ἀχάριστον εὖ ἔχει τὰ τοῦ μύθου,
εὐεργέτην κακηγοροῦντα πρὸς βλαβήν.

Fabula Babriana pæne integra ex paraphrasi in cod. Vaticano innotuit: vid. fab. 315. p. 405. Cor. Fabulæ argumentum a Xen. Mem. II. 7. §. 13. 14 sumsit poeta.

1. νομηι B.

3. γάλα δ' αὖτ' ἀμέλγειν aut γάλα δ' ἐξαμέλγειν legi potest.

9. οἴη B.

10. πεπτωκυίας ad utrumque substantivum refertur, quamquam minus bene cum priore congruat.

11. 15. Hi versus, quorum nullum in cod. Vat. vestigium, redundare videntur. In v. 15 κακόβουλος malum consilium significat, et εὐβουλίᾳ opponitur: hic autem sensus malevolentiam, συκοφαντίαν, poscit.
13. εὐθαλὴς σῖτος. Conf. θαλέθοντες ἀλοιφῇ ap. Homerum (Il. IX. 467, etc.). Ita Babr. I. fab. 74. 7. ὁ κύων γὰρ αὐτῷ συντράπεζος εἱστήκει.
17. ἡμεὶς B. ὑμεῖς in Vat.
18. Pro ὀρειβάτοις reponendum ὀρειφοίτοις.
19. ἐγὼ περιτρέχουσα παντόθεν κωλύω B.
20. διωκτῆρα cod. Vat. ἁρπακτῆρα B.
Vv. 1—6. 8—10. 12—14. 16. 17. 19. 20 metrum retinent.

FAB. LIV.

ὄνον εἶχέ τις καὶ κυνίδιον Μελιταῖον.
ὁ μὲν ἦν ἐν αὐλῇ παρὰ φάτναισι δεσμώτης,
κἄτρωγε κριθὴν, χόρτον, ὥσπερ εἰώθει.
ὁ δ' αὖ κύων ἤθυρεν εὐρύθμως παίζων,
τὸν δεσπότην τε ποικίλως περισκαίρων.
κἀκεῖνος αὐτὸν κατέχων ἐν τοῖς κόλποις
ἔσωζεν, ἄθυρμ' ἡδὺ παραμυθείης.
ὄνος δ' ὁ τλήμων νύκτα τὴν μὲν ἀλήθων
πυρὸν φίλης Δήμητρος, ἡμέρην δ' ὕλην
κατάγων ἀφ' ὕψους ἐξ ὄρους ὅσων χρείη.
δηχθεὶς δὲ θυμῷ καὶ περισσὸν οἰμώξας,
σκύμνον θεωρῶν ἁβρότητί τ' ἐν πάσῃ,
φάτνης ὀνείης δεσμὰ καὶ κάλως ῥήξας
ἐς μέσσον αὐλῆς ἦλθ', ἄμετρα λακτίζων.
τὴν μὲν τράπεζαν ἐς μέσον βαλὼν ἔθλα,
ἅπαντα δ' εὐθὺς ἠλόησε τὰ σκεύη.
δειπνοῦντα δ' ἐγγὺς ἦλθε δεσπότην κύσσων,
νώτοις ἐπεμβὰς καὶ ποσὶν κατατρίβων.
οἱ δ' οἰκέται βλέποντες οἷον ἐπράχθη,

τόλμης ὀνείης ἐσχάτου τε κινδύνου
τὸν δεσπότην ἐν μέσοις ἅμ', ὡς εἶδον,
ἐσάωσαν αὐτὸν παρ' ὀλίγον μαλαχθέντα.
κρανέης δὲ κορύναις ἄλλος ἀλλόθεν παίων
ἔκτεινον. ὡς δὴ καὐτὸς ὕστατ' ἐκπνείων
ἔτλην, ἔλεξεν, οἷα χρή με, δυσδαίμων.
τί γὰρ παρ' οὐρήεσσιν οὐκ ἐπωλεύμην;
τί δὴ παθὼν ὥρμησα τὰ κύνος πράξων,
βαιῷ δ' ὁ μελεὸς κυνιδίῳ παρισούμην;
οὐ δῆτα πάντες ἄρτιοί γε πρὸς πάντα,
οὔτε φθονούντων ἀσφαλῆ τὰ τῆς μοίρης.

Etiam hæc fabula ex paraphrasi in cod. Vaticano in choliambos a criticis redacta erat: cf. fab. 212. p. 137. 371. Cor.

1. *Μελιταῖον*. Hoc epitheton retinent duæ paraphrases ap. Coraëm: etiam proverbium *ὄνος τὰ Μελιταῖα*, vol. I. p. 439. ed. Gotting. hanc fabulam respicit. Penultimam producit *Μελίτη* ap. Lyc. 1027. corripit ap. Ovid. Fast. III. 567. Sil. XIV. 251. Catellum Melitensem commemorat Aristot. H. A. X. 6. Probl. X. 12.

2. *δεμώτης* B.

3. *κέτρωγε* B.

4. *ἤθυρε χαρίεν παίζων* B. *κυνίδιον δὲ, χαρίεν ὄν, εὐρύθμως παίζων* Vat. *ἀθύρω* et *ἄθυρμα* sunt voces Homericæ, Il. XV. 363—4. Od. XVIII. 323.

8—9. Hic locus ita in cod. Vat. repræsentatur: *ὁ δέ γε ὄνος τὴν μὲν νύκτα ἀλήθων πυρὸν φίλης Δήμητρος, ἡμέρας δ' ὕλην ἦγεν ἀφ' ὕψους, ἐξ ἀγροῦ δ' ὅσον χρεία.* Unde hi versus sic probabiliter restitui possunt: *ὄνος δ' ὁ τλήμων, τὰς μὲν νύκτας ἤληθεν πυρὸν φίλης Δήμητρος, ἡμέρας δ' ὕλην κατῆγ' ἀφ' ὕψους, ἐξ ἀγροῦ θ' ὅσον χρείη.*

13. *δεμὰ* B. *δεσμοὺς* Vat.

14. *ἦλθεν* B. conf. Bab. I. fab. XI. 10. *χρὴ πρᾷον εἶναι μηδ' ἄμετρα θυμοῦσθαι.*

18. *καταθλίβων* B. in marg.

26. *οὐ οὐρήεσσιν* B.

27. Abundat hic versus, qui in cod. Vat. non apparet.

30. *φθονούντω* B.

Vv. 1—5. 9—20. 23—26. 28—30 metra conservant. In v. 8 metrum probabiliter restitui potest: v. 27 ut spurius rejici debet. Restant tantum vv. 6. 7. 21. 22 in quibus poetæ manum obliteravit diasceuastes.

FAB. LV.

ὄνος τις ᾖδετ' ἐσθίων ἀκανθώδη.
ἰδοῦσ' ἀλώπηξ μειδιῶσ' ἀνηρώτα·
πῶς, ὦ φέριστε, σύγ' ἁπαλὴν ἔχων γλῶσσαν
σκληρὴν ἐδωδὴν ἐσθίεις κἀκανθώδη;
πῶς οὐ πέπληγεν ἡ τεὴ γλῶσσ' ἀκάνθαις;
καλῶς ἂν εἴποις ταῦτα τοῖσι φληνάφοις.

1—4. Hi versus, qui metra conservant, fabulam integram efficiunt. vid. fab. 256. p. 168. Cor.

FAB. LVI.

ὄνος λεοντῆν ἐνδυθεὶς περιῄει.
τοῦτον κατεπτόηντο τἄλλα τῶν ζῴων,
λέοντά τινα κοὐκ ὄνον νομιζόντων.
ἰδὼν δὲ κερδῶ κατεπείρα καὶ ταύτης,
ἐὰν φοβηθῇ χὡς τὰ λοιπὰ τῶν ζῴων.
ἀλλ' ἥγε κερδὼ τοῦτον ὡς ἑωράκει, —
ὀγκωμένου γὰρ ἤκοε τύχῃ τινί, —
ἔφη πρὸς αὐτόν· ἴσθι τοιγαροῦν οὕτως·
εἰ μὴ βοῶντος πρὸ μικροῦ γ' ἐνωτίσθην,
αὐτή τε κἀγὼ παντελῶς ἐδεδοίκειν.

3. λέοντ' ἀληθῆ reponi potest.

7. τετυχηκυιη ε suprascripto B. ὡς ἔτυχεν ἀκούσασα αὐτοῦ φθεγξαμένου — ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα paraphrastæ.

9. ἐνωτίζομαι, *ausculto*, vox serioris Græcitatis: cf. Schleusner. Lex. Sept. in v.

10. ἐδεδοίκειν B. vid. sup. f. 40. v. 15.

Vv. 2. 5. 6. 8 metrum retinent. cf. f. 113 p. 62. 321. Cor. Alia hujus fabulæ forma extat ib. f. 258. p. 169 in quâ vulpis persona abest, et asinus, pelle leoninâ detractâ, fustibus abigitur. Hac fabulæ formâ utitur Lucianus Piscator. 32. conf. Pseudologist. 3. Fugit. 13. Æsopus Cumis asinum cum pelle leoninâ collocaverat.

FAB. LVII.

ὄνῳ ποτ' ἐπιθείς τι ξόανον κωμήτης
ἤλαυνεν αὐτὸν εἰσάγων διὰ μέσσης
κώμης, ἁπάντων τὸ βρέτας προσκυνούντων.
ὄνος δ' ἐπήρθη, καὶ θεῶν τις ᾠήθη
αὐτὸς γενέσθαι, χὡς θεὸς προσκυνεῖσθαι.
ὠγκᾶτο δεινὸν, ὦτα πρὸς τἄνω τείνων,
ἀπηξίου τε καὶ προσωτέρω βαίνειν.
ὀνηλάτης δὲ ταῦθ' ὁρῶν καθωργίσθη,
καὶ τῷ ῥοπάλῳ τοῦτον ἤλασε παίων,
ὄνος, λέγων, εἶ συ, θεὸν φέρων ὤμοις.

1. Suid. in κωμῆται ex Babrio citat: ὄνῳ τις ἐπιθεὶς ξόανον εἶχε κωμήτης, ubi Hemsterhusius ἦγε pro εἶχε corrigit.

6. ὦτά τε πρὸς τἄνω B.
10. φέρεις B.
Vv. 4. 6—8 metrum retinent. conf. fab. 257. p. 168. 169. Cor.

FAB. LVIII.

ὀρνιθοθήρης παγίδας πτηνοῖς ἵστη.
κορυδὸς εἶδε τοῦτον, ἠδ' ἀνηρώτα
τί τοῦθ' ὃ πράττεις ὧδε κατ' ἀγρὸν κάμνων.
ταύτην ἀρίστην, εἶπε, τὴν πόλιν κτίζω.
εἰπὼν δὲ ταῦτ' ἀπῆλθεν ἠδ' ἀπεκρύβη.
πεισθεὶς κορυδὸς τοῖς λόγοισι τοῖς τούτου
προσῆλθεν εὐθὺ τὴν πόλιν κατοικήσων.
κἆλαθε ληφθεὶς ἐν βρόχοις παναγραίοις.
ὀρνιθοθήρης ἐκδραμὼν συλλαμβάνει.
ὁ γοῦν κορυδὸς συσχεθεὶς λέγει τούτῳ·
ἐὰν πόλεις, ἄνθρωπε, τοιάσδε κτίζῃς,
πολλοὺς ἐνοίκους αὐτὸς οὐχὶ καθέξεις.

οἶκοι μάλιστα καὶ πόλεις ἐρημοῦνται,
ὅταν κακῶς ἄρχωσιν οἷς ἐπετράπη.

2. 6 et 10. Fortasse κορυδαλὸς reponendum.
5. ἀπεκρύφθη legendum.
8. κἔλαθε B.
11. κτίζεις B.

14. ἐπετρέφθη legi potest.
Vv. 4. 7. 11. 12 metra conservant. cf. fab. 46. p. 29. 304. Cor.

FAB. LIX.

οὐρή ποτ' ὄφιος ἠξίου προηγεῖσθαι.
ἕλκειν δὲ λοιπὰ τῶν μελῶν ὀπηδούντων.
ἀντεῖπεν αὐτῇ πᾶν τὸ σῶμ' ἀφραινούσῃ·
πῶς ῥινὸς ἄνευ κώμμάτων ὁδηγήσεις,
ἐναντίως τε πρὸς τὰ λοιπὰ τῶν ζῴων;
ἀλλ' οὐκ ἔπειθε· τὸ φρονοῦν ἐνικήθη.
οὐρὴ μὲν ἦγε, κῆρχεν ἀφρόνως ἄλλων,
σύρουσα τυφλὴ σώματος μέλη πάντῃ,
ἕως γε πετρῶν ἐς βάραθρα πεπτώκει.
ῥάχις, κάρη, πᾶν σῶμα δεινὰ πεπλήγει.
σαίνουσα δή τοθ' ἱκέτευε τὴν κάρην·
δέσποινα σῶσον, λιπαρῶ σε, κινδύνου.
ἅλις κακῆς γὰρ ἀπολέλαυκα τῆς γνώμης.
κάλλιστα δῆμον πρὸς παράνουν τόδ' ἂν εἴποις,
ἄρχειν θέλοντα τῶν σοφωτέρων ἄλλων.

2. τἄλλα B. in marg. Fortasse λοιπῶν legendum.
4. κόμμάτων B.
11. κάρη videtur primam producere fab. 84. 3. 89. 7.

13. ἅλις δὲ κακῆς ἀπολέλαυκα B.
Præter vv. 4 et 14 hæc fabula choliambos retinet.

FAB. LX.

ὄφις γεωργοῦ πρὸς θύραις ἐμφωλεύων
ἔδακε παιδὸς τὸν πόδ', ὃς κατεθνήκει.
μέγα δὲ πένθος τοὺς τεκόντας εἰλήφει.
ὁ πατὴρ δὲ δηχθεὶς συμφορᾷ 'πὶ τοιαύτῃ,
πέτραν λαβὼν ἐλήλυθεν παρὰ τρώγλην,
ὄφιν τ' ἔμιμνεν ἐξιόντ' ἀποκτεῖναι.
ἐξῆλθε δ' οὗτος τῆς ὀπῆς ἐπὶ θήρην.
εὐθὺς δ' ὁ πατὴρ δεδρόμηκ' ἐπισπέρχων,
στερρῶς τ' ἐπ' αὐτὸν τὴν πέτραν ἐπιρρίπτει,
βολῆς δ' ἁμαρτὼν ἀποτυγχάνει τούτου,
κοὐ καιρίως ἐπλῆξε τὸν φονευτῆρα,
οὐρῆς δὲ τἄκρον ἠλόησεν ἡ πέτρα.
καὶ δὴ φοβηθεὶς μὴ τὸ θηρίον κτείνῃ
αὐτόν τ' ἐκεῖνον εἵνεκεν τῆς οὐραίης,
λαβὼν ἄλευρον σὺν μέλιθ' ὁμοῦ χῦδωρ,
ἐκάλει προσελθὼν τοὔρπετὸν πρὸς εἰρήνην.
ὁ δ' οὖν ὀπῆθεν λεπτὸν ὑποσυρίξας, —
φυγὼν γὰρ πληγεὶς εἰς ὀπὴν ἀπεκρύβη, —
λέγων ἔφησε τοιάδε τινὰ τἀνθρώπῳ·
ἕως σὺ τύμβον, τὴν δ' ἐγὼ βλέπω πέτραν,
οὐκ ἔσθ' ὅπως γένοιτο νῷϊν εἰρήνη.

2. *κέτεθνήκει* B.
4. *δηχθεὶς δ' ὁ πατὴρ* B.
9. *στερρῶς*. Extat hoc vocabulum in paraphr. Flor.
9. *κτείνει* B.
17. *ὀπῆθεν*, vox a poetâ conficta. *ὁ δὲ κάτωθεν λεπτὸν αὐτὸς συρίσας* Flor.
19. *τοιαδὴ* B.

20. In tetrasticho Ignatiano hujus fabulæ ultimus versus est: *ἕως σὺ τύμβον τόνδ', ἐγὼ πέτραν βλέπω*. Hinc ap. Babrium legendum: *ἕως σὺ τύμβον τόνδ', ἐγὼ βλέπω πέτραν.*
Vv. 1. 5. 6. 9. 11—14. 16. 20. 21 metrum conservant. cf. fab. 141. p. 83. 338. Cor.

FAB. LXI.

παῖς τις συνῆγεν ἀκρίδας ἀρουραίας,
λαβὼν δὲ πολλὰς ὡς κατεῖδε σκορπῆα,
ἄκριν νομίσας, τήν τε χεῖρα κοιλήνας,
ἕτοιμος ἦν τεταγὼν συναγρεύσειν.
ὁ δ' οὖν τὸ παιδὸς ἄκακον θεωρήσας,
ταῦτα πρὸς αὐτὸν ὧδέ φησι φωνήσας·
ἄπελθε παῖ, μηδ' ὅλως ἐμοῦ ψαύσῃς.
εἰ οὖν μ' ἀγρεύσεις, ἅστ' ἔχεις ἀπορρίψεις.

4. *κτάγων* B. vocem Homericam restitui.

Vv. 2. 6. 8 metrum retinent. cf. fab. 263. p. 174. 392. Cor.

FAB. LXII.

παῖς συμμαθητοῦ δέλτον ἐκ διδασκάλου
ἤνεγκε κλέψας πρὸς τεκοῦσαν ἦν χαίρων.
ἐδέξαθ' αὕτη, κοὐκ ἔφη κακῶς πράττειν,
ἀλλοτρίοις τε χεῖρα μηδ' ἐπιβάλλειν.
νεηνίης δὲ τῷ χρόνῳ μαθὼν κλέπτειν
ἀπείχετ' οὐδὲ μειζόνων ἄλλων.
ἔθος δὲ τέχνη πολλάκις καθεστήκει.
καὶ δῆτα χἱερόσυλος αὐτὸς ἡλώκει
ἐπ' αὐτοφώρῳ, καὶ περιαγκωνισθεὶς
τοῖς δημίοισι τὴν ἐπὶ δίκης ἤχθη.
μήτηρ δ' ὁμαρτεῖ, δακρύει, στοναχίζει.
ὁ παῖς ἐδεῖτο δημίων κατανεύσειν
πρὸς οὖς λέγειν τι λοίσθιον ἐνεγκούσῃ.
αὕτη δ' ἐπέστη, κοὖς ὕπεσχε τῷ τέκνῳ.
ὁ δὲ σφοδρῶς ἔδηξεν οὖς διατμήξας.
ταύτης βοώσης οἷα πρὸς τέκνου πάσχει,

καὶ τῶν παρόντων αὐτὸν αἰτιαζόντων
ὡς κεὶς τεκοῦσαν ἀσεβῶν ἑαλώκει,
οἷα πεπράκοι, παῖς ἔλεξ', ὅμως αὕτη
παραίτιός μοι τῆς ἀπωλίης. ταύτην
ἔδει τὰ πρῶτα τῆς κλοπῆς ἀποτρέπειν.
ἡ δ' ἀσμένως ἔδεκτο τὴν κλοπὴν δέλτου,
καὶ νῦν ἐς Ἀΐδου δώματά με προπέμπει.

1. διδασκαλείον ex paraphr. legendum.
8. χιρόσυλος B. in marg.

Vv. 2. 3. 5. 7. 8. 14—17. 20. 22 metrum retinent. cf. fab. 48. p. 30. 305. Cor.

FAB. LXIII.

παῖς τις γεωργοῦ κοχλίας λαβὼν ὤπτα.
αὐτῶν δ' ἀκούσας, ταῦτά φησι, τρυζόντων·
ὦ ζῷ' ἀφραίνοντ'· οἰκίαι 'πικαίονται,
ὑμεῖς δ' ἀναβέβλησθ' ἐντόνως ᾄδειν.

1. Cochleas inter exilis victus edulia enumerat Poliochus ap. Athen. II. p. 60 B. cf. p. 63 A.

Vv. 1—3 metrum retinent. conf. fab. 78. p. 47. Cor.

FAB. LXIV.

πάλαι Προμηθεὺς, — Ζεὺς γὰρ ἦν ἐπιτάξας, —
ἐδημιούργει ζῷα, φασὶ, κἀνθρώπους.
ὁ Ζεὺς ἰδὼν δὲ ζῷα πλείον' ἀνθρώπων
ἐκέλευσεν αὐτὸν θηρίων τινὰ φύρειν,
καὶ ταῦτ' ἐς ἀνθρώπινον εἶδος ἀμπλάσαι.
ὁ δὲ Προμηθεὺς ἀνέφυρσε τὰ ζῴων,
βροτούς τ' ἀνέπλασ', οἷα Ζεὺς ἐβουλήθη.

συνέβη δ' ὅμως τοὺς πεφυρμένους οὕτω
μορφὴν μὲν εἰς ἀνθρώπινον μετήλλαχθαι,
γνώμην δ' ἀεὶ σώσαντας ἣν ἔσχον ἀρχαίην.
τῆς θηριώδους γὰρ πάλαι μεμοίρανται.

4. *ὁ δὲ Ζεὺς θεασάμενος πολλῷ πλείονα τὰ ἄλογα ζῶα ἐκέλευσεν αὐτὸν τῶν θηρίων τινὰ διαφθείραντα, ἀνθρώπους μετατυπῶσαι*, paraphrast. Hinc *φθείρειν* pro *φύρειν* fortasse legendum, quod metrum restituit.

7. Voculam ante *Ζεὺς* corripit Babrius: cf. meam præfationem ad Part. I. p. XIX. Vv. 2. 3. 7. 9. 11 metra conservant. conf. fab. 274. p. 180. Cor.

FAB. LXV.

πέλεια διψῶσ' ἐς θέρους ἀκμὴν ὥρης
κρατῆρ' ἐσεῖδε νάματος ἐν πινακίῳ.
ἔδοξε δ' εἰκὼ χρῆμ' ἀληθείης εἶναι,
ῥοίζῳ δὲ πολλῷ τοῦδ' ἔπι κατηνέχθη.
ὅμως λαθοῦσα τῷ πίνακι προσερράχθη,
πεσοῦσ' ἐπὶ γῆς, τῶν πτερῶν καταγέντων.
αἴλουρος αὐτίκ' εἶχεν ἄμογον θοίνην.
πρὸς μηδὲν ὁρμᾶν ἔργον ἀπερισκέπτως·
πάθει γὰρ εἴκων ταχὺς ἂν κατωλώλεις.

2. *πινακείῳ* B.
5. *προσερράγη* B. in text. *προσερράχθη* in marg.

Vv. 1. 3. 5 metrum retinent. conf. fab. 120. p. 66. 324. Cor.

FAB. LXVI.

πέρδικ' αγρεύσας ἔσχε τις κυνηγήτωρ,
τοῦτον δ' ἔμελλε δόρπον εὐθέως θήσειν.
θρηνῶν δ' ὁ πέρδιξ ἱκέτευε μὴ κτείνειν.

σῶόν μ' ἔασον, εἶπε, σύγε μὴ θύσῃς.
ἐγὼ δέ σοι γὰρ πλῆθος ἄλλο περδίκων
θήρην ἑτοίμην ἐν πάγαις τεαῖς θήσω.
ὁ δ' εἶπε· μὴ κακάβιζε, χαλίφρων πέρδιξ·
καὶ γὰρ μάλιστα διὰ τοῦτ' ἐγὼ θύσω,
ὅπως φίλων σῶν μὴ προδότης πάλιν γίγνῃ.
εἰς σαυτὸν ἕρπει πᾶν κακὸν τὸ κατ' ἄλλων,
ὅπερ τεχνάζῃ κακομηχάνῳ γνώμῃ.

7. τῶν περδίκων οἱ μὲν κακκαβίζουσιν οἱ δὲ τρίζουσιν, Aristot. H. A. IV. 9. ib. χαλίφρων, Od. IV. 371. priore correptâ.

8. Sensus ἐγώ σε θύσω postulat, ut in paraphrasi. Vv. 1—3. 5. 6 metrum retinent. conf. fab. 164. p. 99. 353. Cor.

FAB. LXVII.

πεσοῦσ' ἐπὶ γῆς νυκτερὶς συνελήφθη
γαλῆς ὑπ' ἐχθρᾶς τῶν πετεινῶν ἁπάντων.
μέλλουσ' ὑπ' αὐτῆς εὐθέως ἀναιρεῖσθαι,
ἥδ' ἱκέτευε μηδαμῶς κατακτείνειν.
μή σύ με θύσῃς, εἶπεν, ὦ γαλῆ φίλη.
οὐ γάρ ποτ' οὐδὲν ἠδίκησ' ἐγὼ ζῷον.
μεθ' ἡμέρην μὲν οὐκ ἔξειμι τῆς κοίτης,
ὁπήνικα πρόεισι τἆλλα πρὸς θήρην.
ἔξειμι δ' ἀεὶ κἀσέληνον εἰς ὄρφνην,
ἔξουσ' ἐδωδὴν ἠέρος δροσοβρύτου.
γαλῆ πρὸς αὐτὴν τοιάδ' ἀνταπεκρίθη·
καὶ πῶς ἐγὼ λύσω σε, πολέμιος πτηνοῖς;
οὐ πτηνόν εἰμι, νυκτερὶς προσημείφθη.
τετράπουν δ' ἐγώ σοι, καὶ τροφὴν ἔχον θήρην.
τοῦτ' ἀκούσασ' ἡ γαλῆ παραλείπει.

σωθεῖσα δ' οὕτως οὐ μικροῦ γε κινδύνου
γαλῆς πρὸς ἄλλης καὶ πάλιν συνελήφθη,
αὐτὴ δ' ἔμελλεν, οἷα μῦν, καταβρώθειν.
ἡ δ' ἱκέτευε μὴ λέγουσα μῦν εἶναι,
οὖσα πτερωτὸς, οἱ δὲ μύες ἀπτῆνες.
χοὕτως ἐσώθη διπλόου γε κινδύνου.

10. βρύτος primam corripit.
14. θήρην, vox corrupta: cf. v. 8. Fortasse ξηρὴν legendum; hoc est ἄναιμον.
16. οὕτω B.
18. καταβρώθειν pro καταβιβρώσκειν non alibi invenitur.
20. πτερωτὸν B. ἀπτὴν est vox Homerica, Iliad. IX. 323.
Vv. 3. 4. 6—9. 12—14. 16. 18. 19. 21 metrum retinent. conf. fab. 109. p. 61. 320. Cor.

FAB. LXVIII.

ποδῶν χελώνης κατεγέλα λαγωὸς πτώξ.
ἡ δὲ πρὸς αὐτὸν μειδιῶσ' ἀπημείφθη·
ἐγώ σε τὸν ποδήνεμον παραθρέξω.
οὔ μοι δοκεῖς, λαγωὸς εἶπ', ἀληθεύειν.
ὅμως ἔριζε, καὶ πόδας ἐμοὺς γνώσῃ.
τίς οὖν δὲ νῶϊν τέρμα καὶ γέρας δείξει;
χέλυν' ἐπηρώτησεν ὠκύπουν λάγων.
πρὸς ἣν ἐκεῖνος εἶπε, κερδόα βλέψας·
τούτων μελήσει κερδαλῇ βαθυγνώμῳ.
ἡ δ' οὖν χελώνη, μηδ' ὅλως κατοκνοῦσα,
βάδην ἔβαινεν, ἀλλ' ὅρον κατειλήφει.
ὁ δ' αὖ λαγωὸς ὠκύτητι θαρσήσας,
ὕπνῳ τε χῶρον ὡς πάλιν διαθρέξων,
ὅμως δ' ἀναστὰς, εἶδε τὴν χέλυν τέκμωρ
καταλαβοῦσαν, κἂν μέρει καθεύδουσαν.
ἀμελῇ φύσιν νοῦς ἐπιμελὴς ὑπερβάλλει.

3. *ποδήνεμος*, epitheton Iridis Homericum, occurrit apud Cratetem Comicum, Ath. III. p. 117. B.
15. *κὲν* B.
16. *αμελει* B.
Vv. 2—4. 6. 8—14. 16 metrum conservant. conf. fab. 287. p. 187. 398. Cor. Fabulam Babrianam presse sequitur paraphrasis codicis Florentini. Similem fabulam de aquilâ et testudine innuit Achæus in Omphale ap. Diog. Laert. II. 133.

FAB. LXIX.

ῥόδῳ παραφυὲν ἀμάραντον εἰρήκει·
οἷον σύγ' ἄνθος εὐπρεπὲς πεφυτεῦσαι,
θεοῖς ποθητὸν ἠδ' ἐραστὸν ἀνθρώποις.
ἐγὼ μακαρίζω σε τῆς τε σῆς ὀσμῆς,
ἐφιμέρου τε καλλονῆς. τὸ δ' ἠμείφθη·
ἐμοὶ μὲν, ὦ ἀμάραντον, ὡς καλῶς ἔγνως,
βαιῶς κέκλωσται λῖνά μοι τὰ τῆς μοίρης.
καὶ μὴ κοπὲν γὰρ οἰκόθεν καταρρεύσω.
σὺ δ' ἀεὶ ἀνθεῖς, καὶ νέον τελοῦν ζώεις.
ἐμοὶ γένοιτο καλὸν ὃ καθεστήκοι
καί τοί γε μικρὸν ἢ μέγα τῶν ἀστατούντων.

6. *ὠμάραντον*, cum crasi, legendum.
7. Primam in *λίνον* videtur Babrius præter consuetudinem produxisse: vid. sup. fab. 23. v. 8.
8. *οἰκοθεν* hic *omnino*, *penitus*, significat. Similis vocabuli usus ap. Æschin. in Ctes. p. 62. 8 reperitur.
9. Pro *ἀεὶ* legendum *αἰέν*; sed quid voces *νέον τελοῦν* significent non liquet. *σὺ δὲ ἀνθεῖς ἀεὶ, καὶ ζῇς οὕτω νέον*, paraphrast.
10. *καθεστήξοι* B.
Vv. 3. 5—8 metrum retinent. conf. fab. 275. p. 180.

FAB. LXX.

σκύμνον λύκου νεογνὸν εὗρέ τις ποιμήν.
λαβὼν δὲ τοῦτον ἔτρεφ' ἅμα κύνεσσ' οἴκοι.

οὕτω δὲ θρεφθεὶς τῷ χρόνῳ συνηυξήθη.
εἰ γοῦν ἐπήρχεθ' ἁρπάσων τι τῶν ἄλλων
λύκος τις ἀμνὸν ἢ ἔριφον ἐκ ποίμνης,
μετὰ τῶν κυνῶν ὅδ' αὐτὸς ἔτρεχ' ἐν πρώτοις,
ἐπιδιώκων τὸν θρασὺν ἁρπακτῆρα.
εἰ δ' οἱ κύνες θέοντες ἔσθ' ὅτ' ἀπηύδων,
κοὐκ ἠδύναντο τὸν ἅρπαγα καταφθῆναι,
ἀλλ' εἰς ἔπαυλιν ἔστρεφον παλισσύτως,
ἐκεῖνος εἵπετ', οὐ λύκον γε διώκων,
ἀλλ' ὡς ἐπιφθὰς συμμεταλάβοι θοίνης.
εἰ δ' αὖ λύκος τις μή, πρόβατον ἁρπάσων,
ἔξωθεν ἄλλος εἰς ἔπαυλιν ὁρμῆσαι,
θύων λάθρ' αὐτὸς σὺν κύνεσσι βεβρώκει.
ἕως ὁ ποιμήν, ἐννοήσας τὸν ῥαιστήν,
εἰς δένδρον αὐτὸν κατέπεφν' ἀναρτήσας.
φύσις πονηρὰ χρηστὸν ἦθος οὐ τίκτει.

3. συνηυξήνθη B.
15. λάθρα, epicâ forma, ultimâ correptâ, utitur Babrius.
Vv. 1. 3. 4. 14—16. 18 metrum retinent. conf. fab. 71. p. 42. Cor. quæ cum Babrianâ fere concordat.

FAB. LXXI.

συκῇ ποτ' ἐλαίη καλλονῆς προσήριζεν.
ἐγὼ μέν, εἶπεν, εὐανθὴς ὅλας ὥρας,
συκῆς δὲ τἄνθος εἰσάπαξ ἀναθάλλει
μίαν καθ' ὥραν, ἡδὲ καὶ πάνυ γλίσχρως.
ἡ δὲ πρὸς αὐτὴν τοιάδε προσημείφθη·
ἀλλά γε χεῖμαρ ἢ χιὼν ὅταν πίπτῃ
σοῦ δὴ κομώσης ἱζάνουσα τοῖς φύλλοις,
κάλλος σε διέφθειρεν ἅμ' εὐθαλείῃ.

ἔμπης δέ μ' εὗρουσ' ἐκγυμνουμένην φύλλων
οὐκ ἀδικεῖ μ' ὑπορρυεῖσα ἐπὶ γαίης.
  κάλλος ἀφραῖνον εἰς ὄνειδος ἀνθρώπου.

6. *πίπτει* B.
9. *δ' ἐμ' εὗροῦσ'* B. ib. *ἐκγυμνουμένη* B.
10. *ὑπόρρεουσα* paraphr.
Vv. 4. 5. 7. 9 metra conservant. cf. fab. 299. p. 195. Cor.

FAB. LXXII.

στικτή ποτ' ηὔχει πάρδαλις φέρειν μούνη
δορὴν ἁπάντων ποικιλωτάτην ζώων.
πρὸς ἣν ἀλώπηξ εἶπ'· ἐγὼ δὲ κἀκείνης
καὶ σῆς ἔχω γε ποικιλωτέρην γνώμην.
  πᾶς τις ἑαυτῷ τὸ προσὸν μεγαλύνει.

3. 4. Sensus, ut videtur, est: Habeo mentem versutiorem et eâ pelle et tuâ mente.
5. *μεγαλλύνει* B.
Vv. 1—4 metrum retinent. conf. fab. 159. p. 96. 351. Cor. Habet eandem fabulam Plutarch. Sept. Sap. Conv. c. 12. Animine an corp. aff. sint pej. c. 2. Avian. fab. 40.

FAB. LXXIII.

συνηγορῶν Αἴσωπος ἐν Σάμῳ τείως
τινὶ γραφὴν φεύγοντι λαγέτῃ κείνων, —
ἐτύγχαν' οὗτος τῶν ἄγαν βαθυπλούτων, —
εὔμουσον εἶπε τοῖς Σαμίοισι τὸν μῦθον.
  ποταμὸν περῶσα ταχύρροον ποτ' ἀλώπηξ
ἐκ τῶν βιαίων ῥευμάτων εἰσεβράσθη
σπήλυγγος ἔντος εἰς φάραγγα βαθείην.
ἐκεῖ πεσοῦσ' ἔκειτο, κἀπηυδηκυῖα,
ἀναδραμεῖν τ' ἐκεῖθεν οὖσά τ' οὐχ οἵη,
χρόνον δὲ μακρὸν εἶχε καὶ ταλαιπώρως.

σμῆνος δ' ἐπ' αὐτῆς ἤλυθεν κυνορραιστῶν,
πειναλέων τε χαίμάτων μυζητήρων.
πλανώμενος δ' ἐχῖνος ὡς πάθην ὥρα,
ταύτην κατῳκτείρησεν οἷς ὑποτλεύοι.
καί δῆτ' ἐπηρώτησεν εἰ κυνορραιστὰς
βούλοιτ' ἀναιρεῖν· μηδαμῶς, ἔφη κείνη,
μή μοι δίωκε τούσδε, μή συ, πρὸς νυμφῶν.
τί δή ποτ' οὖν ἀπαλλαγὴν τῶνδ' οὐ βούλει;
ἐχῖνος ἤρετ' αὖθις· οἵδε νῦν γάρ μοι
πλήρεις πέλουσι παντάπασιν αἱμάτων,
ἐπεῖπε κηλὰς, καὶ μικρόν με μυζῶσιν.
ἐὰν κορεσθέντων δὲ τῶνδ' ἀπαλλάξῃς,
ἄλλοι δὲ λιμοξήριοί μ' ἐπελθόντες
κεῖνοι πρόπασαν νηλεῶς ἐκπιοῦνται.

2. λαγέτης vox Pindarica. vid. sup. f. 9. v. 18.

7. σπήλιγγος B. ib. βαθείης B.

9. οὖσά τ' οὐχ οἵη, hoc est, οὐχ οἵη τε οὖσα.

10. Particula δὲ abundat.

11. ἤλυθε B.

14. οἰκτείρημα et οἰκτείρησις sunt voces Hellenisticæ.

17. τούδε B.

21. κημὰς ἐπεῖπε B. vid. inf. fab. 79. v. 20. fab. 82. v. 2. κηλὰς, ἀλώπηξ Suid. Glossam in aliquibus codicibus omissam delevit Gaisford.. vox a κηλεῖν, 'leniendo fallere', formata. κηκὰς ἀλώπηξ habet Nicander Alexipharm. 185. cf. Etym. Mag. in κηκάς.

23. v. λιμοξηρὸς ex Gloss. Gr. citatur.

Vv. 1—4. 6. 8—11. 13—19. 22. 23 metrum retinent.

Aristoteles Rhet. II. 20 hanc fabulam ab Æsopo apud Samios recitatam tradit, verum demagogum, non divitem, reum fingit. conf. Plut. an seni sit ger. resp. c. 12.

FAB. LXXIV.

σῦς καὶ κύων ἐριζέτην πρὸς ἀλλήλα
τίς εὐτοκοίη. τῆς κυνὸς μὲν εἰπούσης

τετραπόδων τάχιστα τῶν ὅλων τίκτειν,
καὶ σῦς δ' ἐπεῖπε· μέμνησο δ' ὡς τυφλὰ τίκτεις.

3. *τεραπόδων.* Huius vocis antipenultimam hic et infra f. 83. v. 3 in metri gratiam producere videtur poeta. cf. *ὑδάτιος* sup. fab. 3. v. 9.

4. *ἴσθι δ' ὡς τυφλοὺς τίκτεις* ex paraphraste restituendum. Si versus ita restituatur, fabula integra videtur. conf. fab. 69. p. 41. 315. Cor.

FAB. LXXV.

σῦς καὶ κύων ἐλοιδόρουν συναλλήλως.
καὶ σῦς μὲν ὤμνυ τὴν θεὰν Κυθηρείην
ἦ μὴν ὀδοῦσι τὴν κυνῆν ἀναρρήξειν.
κύων δ' ἔσκωπτε τῇ συῒ προσομνύσῃ
οὕτω Κυθήρην ἱερᾷ τάχ' ὡς οὔσῃ.
καλῶς γε τὴν Κυθέρειαν ἡμῖν ὀμνύεις.
δηλοῖς γὰρ ὑπ' αὐτῆς ὡς μάλιστα φιλεῖσθαι,
ἥτις τὸν ἐσθίοντα τῶν κρεῶν σῶν
μακρὰν ἑαυτῆς ἱεροῦ παραπέμπει.
πρὸς ταῦτα σῦς ἐγρύλλισ' ἡ παλαμναίη·
ἐντεῦθεν οὖν μάλιστα μανθάνεις πόσσῳ
στέργουσά μ' ἐστὶ πᾶσιν ἡ θεὸς δήλη.
μισοῦσα καὶ γὰρ τὸν θέλοντά με βλάπτειν,
ἢ καὶ κτανεῖν τολμῶντ', ἀποτροπάζει.
σὺ δ' οὖν κάκοδμος ζῶσά τ' ἠδὲ τεθνῶσα.
ἀνὴρ ἐχέφρων τὴν κακηγόρων χλεύην
πρὸς αἶνον ἀντέστρεψεν ἐὸν εὐμούσως.

1. *ἐλοιδοροῦντο* B. ib. *συναλλήλως.* conf. fab. 76. v. 13. vocabulum lexicis ignotum.
2. *ὤμνυε* B.

3. *κύνην* B. *κυνῆ* hic, sensu ignoto, pro *κύων* accipitur.
5. *ουσα*, sed *η* in marg. B.
8. *κρεάων* B.

10. ἐγρύλλισεν B. ib. ἡ παλαμναίη. Hanc vocem de vulpe usurpat Babrius, I. f. 82. v. 6. A παλαμῶμαι deducit, et sensu calliditatis accipit poeta. Alibi hæc vox longe aliam significationem habet.

17. ἀντέστειψεν B.

Vv. 1—3. 5. 10—13. 15. 16 metrum conservant. cf. fab. 68. p. 41. Cor.

FAB. LXXVI.

τὰ καλὰ πάντα πρὸς κακῶν ἀπεβλήθη
κοινῆς διαίτης ἣν ἔχον μετ' ἀνθρώπων·
πληθὺς κακῶν γὰρ τἀπὶ γῆς κατεσχήκει.
ἐς οὐρανὸν δ' ἵκοντο, καὶ δίκην ᾔτουν
λαβεῖν δικαίαν πρός γε τῶν διωξάντων,
μηκέτι δὲ συζῆν ἤθελον μετὰ τούτων.
ἡ γὰρ φύσις ταῦτ' οὐ σοφῶς συνηνώκει.
καὶ πῶς ἂν σύνοιεν, ὡς ἔχει γε τἀνθρώπων
μαχεύμεν' αἰεὶ καὶ μάχην ἀκηρύκτως;
καὶ Ζῆν' ἀπήτουν τεθμὸν ἐν σφίσιν τάξαι.
Διὸς δὲ θεσμός· κεῖνα μὲν μετ' ἀλλήλων,
ὑμεῖς δ' ἀπέρχεσθ' ἓν καθ' ἓν παρ' ἀνθρώπους.
τούτου χάριν γοῦν κεῖνα μὲν συναλλήλως.
καὶ γὰρ συνῆπται, κοὐδαμῶς καθ' ἓν βαίνει.
καθ' ἓν δὲ τὰ καλὰ πρὸς Διὸς κατέρχονται,
ἀλλ' οὐδὲ πᾶσι, καὶ βράδιστ', ἐς ἀνθρώπους.

7. Verbum συνενόω non alibi invenitur.

10. σφίσι B.

12. ἡμεῖς B.

14. καὶ οὐδαμῶς B.

Omnes versus, præter 6 et 8, metra conservant. Locus v. 8 — 9 mutilus videtur. Cf. fab. 402. p. 264. Cor.

FAB. LXXVII.

ταύρῳ κάμηλος τῶν κερῶν παρεξήλου.
πρὸς Ζῆν' ἀνῆλθε, χἰκέτευε τυχεῖν ἴσων.
ὁ Ζεὺς ἀγανακτῶν, εἴ γ' ἐβούλετο πλείω,
δέμας πελωρὸν εὐσθενές τε λαβούση
οὔκουν κέρα δέδωκε, καί τι τῶν ὤτων
κόψας παρῆρε, πλειονεξίην μισῶν.
αἰτεῖν ἀνάρσιον ἃ παρέρχεται δαίμων.

7. παρεκεται B.
Vv. 1. 5. 6 metra retinent. | cf. fab. 197. p. 124. 360. Cor. Avian. fab. 8.

FAB. LXXVIII.

τὴν πυρρίχην δίδασκέ τις ἄναξ Αἰγύπτου
χορὸν πιθήκους. μῖμόν ἐστι τῶν ζῴων
ὁ πίθηξ· ἃ γὰρ δέδορκε δρῶντας ἀνθρώπους,
καὐτὸς τὰ κείνων βούλεταί γε μιμεῖσθαι.
στολὴν μὲν λαμπρὰν εἱμέν' ἠδὲ κομψώδη
ἐδραματούργουν οἱ καλοί γε μορμῶπαι,
πολλῶν ὁρώντων· καὶ τέως μὲν εὐμούσως.
ἀλλά γέ τι παιπάλημα τῶν θεωρούντων
ἀφῆκεν ἐς μέσον κάρυ' ἅσσα τοῦ κόλπου.
οἱ πυρριχισταὶ δ' ὡς κυλινδούμεν' αὐθ' ὥρων,
χοροῦ τ' ἐλήθοντ', ἐνδύτας τε διέσπων,
μορμοὺς συνέθλων, ἠδ' ἐπ' αὐτὰ συνώρμων,
φανέντες οὐδὲν ἢ γένη τὰ πιθήκων.
οὔτοι δυνηρῶν τὴν φύσιν μεταλλάττειν.

5. metrum bene se habet, modo λαμπρὰν στολὴν μὲν legamus. Verum ultima in εἱμένοι elisionem non patitur, et locus mutilus esse videtur.
6. μορπῶπες aut μόρμωποι

legendum. vid. Porson. ad Eur. Med. 1363.

Vv. 2—4. 6. 7. 14 metrum retinent. Extat eadem fabula apud Lucianum, Piscator. c. 36. qui regem Ægyptium nominat. conf. Bab. I. fab. 32.

FAB. LXXIX.

τράγος ποθ' ὥρης συσχεθεὶς θέρους δίψει,
ὡς εἶδε νᾶμα, κατῆλθεν εἰς βαθὺν κρημνόν.
πιὼν συνῆκεν ὡς κατῆλθεν ἀσκέπτως,
βόθρου μόνος γὰρ οὐκ ἐδύνατ' ἐκβαίνειν.
ἀνέβλεπ' ἑστὼς, καὶ βοηθὸν ἐζήτει.
διψῶσα κερδὼ τὸ σπέος παραμείβει,
κἰδοῦσα τὸν τράγον ἀσμένως ἀνηρώτα
εἴπερ τὸ ῥεῖθρον τῶν ποτίμων ἐνυπάρχει.
καὶ φησὶν οὗτος, καί γε σὺν διαυγείῃ·
ὅμως ἀνάντης ἠδ' ἀνέκβατος σπήλυγξ.
ἡ δὲ πρὸς εὐρυγένειον ὧδ' ἀπημείφθη·
μὴ τῷδ' ἀθύμει· καὶ γὰρ ὡς ἐσκεψάμην
ἔγνωκα κεῖθεν τὴν ἀνάβασιν ῥᾴστην.
κλίνον κέρας ἔμπροσθε βοθρίου τοίχου,
ἔφησ' ἀλώπηξ, ὡς ἔγωγε κατέλθω,
ἀναδραμοῦσα δ' ἔνθεν ἐγώ σ' ἀνελκύσω.
κατῆλθε, καὶ πέπωκε, κἀξέβη βόθρου.
κοὐδὲ σμικρόν τι τῷ τράγῳ συνηρώγει.
ἐμέμφετ' αὐτῇ κεῖνος· ἦν γὰρ ἀγνώμων.
κηλὰς ἀναιδὴν ταῦτά γε προσειρήκει·
ἀλλ' εἴπερ εἶχες καὶ φρένας γε τοσσαύτας
ὅσας ὁ πώγων τὰς τρίχας διασσείει,
οὐκ ἂν κατῆλθες ἀγνοῶν ἣν ἐξέλθῃς.

5. ἑστὼς ἀνέβλεπε B.

7. κἀδοῦσα. Crasis barbara.

8. συναρωγέω, vox ab ἀρωγὴ formata.

22. διασείει B.

23. ἂν ἐξέλθῃς B.

Vv. 1. 3. 9. 10. 17—19. 21—23 metrum retinent. cf. fab. 4. p. 5. 281. Cor.

FAB. LXXX.

Ὑμηττία μέλισσα, κηρίων μήτηρ,
δῶρον φέρουσ' ἀνῆλθεν εἰς θεῶν οἴκους,
μέλι τῷ Διῒ νεόρρυτον παρὰ σίμβλων,
μή πω καπνισθὲν ἄνθεων ἡδυπνοίων.
ὁ Ζεὺς ἐτέρφθη τῷ μελισσίῳ δώρῳ,
γέρας θ' ὑποστὰς οἷον ἄν περ αἰτήσῃ.
αὐτὴ δὲ κέντρον, εἶπε, δός, ἵν' ἀνθρώπων
εἴ τίς τι τολμήσειε κηρίων ἅψαι,
κεντοῦσ' ἀναιρῶ τοῦτον οἷς ἐμὲ βλάπτει.
ὁ Ζεὺς νεμεσσᾷ τοιάδε προσαιτούσης
ἔργα βροτοφθόρ', ἀλλ' ὅμως ἀναγκαίῃ
καὶ μὴ θέλων δέδωκεν· εἶπε γὰρ δώσειν.
δέδωκε μέντοι κέντρον ὀλεθρίου μοίρης,
ὡς τήνδε τούτῳ πλήξασαν ἔτι μὴ ζώειν.
ζωὴ γὰρ αὐτῆς ἐστὶ πετομένης κέντρον,
σὺν γάρ τε τὸ ζῆν τῷδε προσαπολλύειν.

2. ἦλθεν B. ἀνῆλθεν et ἀνελήλυθεν duæ paraphrases.

4. 'Mel, quod fumo et vetustate nondum florum fragrantiam amisit'.

9. κεντῶσ' B.

13. ὀλέθρου B.

15. τὸ κέντρον B. conf. Aristot. H. A. IX. 40, qui de apibus ait: αἳ δὲ τύπτουσαι ἀπόλλυνται, διὰ τὸ μὴ δύνασθαι τὸ κέντρον ἄνευ τοῦ ἐντέρου ἐξαιρεῖσθαι· πολλάκις γὰρ σώζεται, ἐὰν ὁ πληγεὶς ἐπιμελῆται καὶ τὸ κέντρον ἐκθλίψῃ· τὸ δὲ κέντρον ἀποβαλοῦσα ἡ μέλιτ-

τα ἀποθνήσκει. Etiam Virg. Georg. IV. 236.

Illis ira modum supra est, læsæque venenum
Morsibus inspirant, et spicula cæca relinqunt
Adfixæ venis, animasque in vulnere ponunt.

Vv. 1. 2. 4. 6. 8—13. 15. 16 metra conservant. conf. fab. 240. p. 157. 381. Cor.

FAB. LXXXI.

υἱὸν γέρων τις δειλὸς εἶχε γενναῖον.
καθ' ὕπνον εἶδέ μιν λέοντος ὕπο τεθνήξειν.
καὶ δὴ φοβηθεὶς μὴ τοὔναρ ἀληθεύσοι,
οἴκημα τούτῳ τερπνὸν ἐδείματο σπεύσας.
χὤπως ἔχῃ τι βουκόλημα τῆς λύπης,
ἐνέθηκε τοίχοις ποικίλας γραφὰς ζῴων.
ἐν οἷσι καὶ λέοντος ὄψις ἐγράφθη.
ὡς οὖν ἑώρα τουτονὶ νεηνίσκος,
μᾶλλον βαρείῃ τόνδε κάτεχεν λύσσῃ.
στὰς οὖν ἔναντι τοῦ λέοντος ἐξηύδα·
ὦ σύγε θηρίον κάκιστον, ὁθούνεκα ψευδὲς
ἐμὸς πατὴρ ὄνειρον εἶδε καθ' ὕπνους,
διὰ τοῦτ' ἐγὼ καθείργομαι μάτην ὕπαρ.
καὶ τί δὲ ποιήσω σε νῦν ἐφ' οἷς πάσχω;
νεηνίης λέοντι ταῦτ' ἀπειλήσας
παρεξέτεινε διά τινος θυρίου χέρα,
νάρθηκα ῥήξων βατίου ἐγγύθεν τοίχου.
ἔμελλε γὰρ λέοντα φλοξὶ τεφρῶσαι.
ἀλλ' οὖν ἐπλήγη φεῦ σκολόπεσσι δακτύλῳ.
συνέβη παρ' αὐτ' ὄγκωμα μέχρι βουβῶνος,
ἄλγει τε δεινῷ συσχεθεὶς νεηνίσκος
ἄναυδος εὐθὺς τῷ πόνῳ κατεκλίνθη.

καὶ πορθμὸν Ἀχέροντος ἐκπέρα τλήμων.
ἅ σοι πέπρωται, ταῦτα τλῆθι γενναίως,
καὶ μὴ σοφίζου· τὸ χρέων γὰρ οὐ φεύξῃ.

2. *θνήσκειν* legendum. cf. fab. 25. v. 9. Aristoph. Ach. 590.

3. *τὄναρ* B.

5—6. Citat Suidas in *βουκολήσας*, (in Schol. Aristophan. Pac. 153 transcriptus) qui *τοῖς* ante *τοίχοις* inserit. Confer *βουκολοῦσα τὴν λύπην* ap. Babr. I. fab. 19. v. 7.

7. *ἐγράφη* B.

11. *θὴρ* B. *θηρίον κάκιστον*, ut in paraphr. reposui. In hoc loco aliqua vestigia fabulæ Babrianæ, quæ in nostro codice non comparent, videtur conservasse paraphrastes Florentinus: *ὦ κάκιστον θηρίον, διὰ τὸ ὄναρ τὸ ψευδὲς τοῦ πατρός μου, ὃ αὐτὸς ἑώρακεν ἐν ὕπνοις μάτην, προσκατεκλείσθην φρουρᾷ τῇ γυναικείῃ*. p. 394. Cor.

12. *ὄνειρον*, in neutro genere utitur, ut ap. Hom. Od. IV. 841 et sæpius apud Herodotum.

13. *ὕπαρ* hic *somnium* valet, contra usum receptum.

16. *χέρρα* B.

17. *βατιον* B.

18. Hinc patet cod. Flor. lectionem, *τὸν λέοντα καῦσαι*, quod editores in *κροῦσαι* mutare volunt, recte se habere.

24—25. Hos versus Etymol. Mag. in *πεπρωμένον* e Babrio citat, ubi *τῶν χρεῶν*, a Sylburgio correctum.

Vv. 1. 5—8. 10. 15. 18. 20—22. 24. 25 metra conservunt. conf. fab. 264. p. 174. 393. Cor. Hanc fabulam a notâ Atyis et Adrasti historiâ ap. Herod. I. 34—45 originem traxisse censet Coraës.

FAB. LXXXII.

ὗς ἄγριός ποθ' ἵστατο πλήσιον δένδρου,
καὶ τοὺς ὀδόντας ἔθηγε. κηλὰς ἠρώτα·
τί δὴ παθὼν οὐκ ὄντος οὔτε κινδύνου
οὔτ' αὖ κυνηγετοῦντος, ἔκτος ἀνάγκης
θήξειε τοὺς ὀδόντας. ὗς ἀπημείφθη·
ἦν ἂν μάταιος καὶ κάκιστ' ἀπωλούμην,
εἴ γ' ὅπλ' ἐπεζήτησα παρόντος κινδύνου.

ὁ πᾶς ἐπιβούλευμα βίος ἐστὶν ἀνθρώπων.
ἕτοιμον εἶναι δεῖ σε, μὴ κακῶς ὄλῃς.

9. ὤλῃς B.
Vv. 3. 5. 6 metra conservant. conf. fab. 54. p. 32. 309.

FAB. LXXXIII.

φάσις ποτ' ἦλθε τοῖς τετραπόδοις ζῴοις,
καύχημα κατέχουσα πρὸς τέκνων πλήθη.
καὶ δῆτ' ἰόντες πρὸς λέαιναν ἠρώτων,
ταύτην ἐλέγχειν βουλόμενοί γ' ἀπαιδείης.
δεῦρ', εἰπὲ καὶ σὺ, παῖδας ὁππόσους τίκτεις;
γελῶσα δ' ἡ λέαινα τοῖσιν εἰρήκει·
ἑνὰ σκύμνον μὲν, ἀλλὰ πάντα γενναῖον.
κρείσσων ἀνὴρ εἷς εὖ φρονῶν ἀφραδοῦς πλήθους.

1. vide sup. f. 74. v. 3.
7. Fortasse legendum, σκύμνον μὲν οἷον.
Vv. 3. 5. 6 metrum retinent. cf. fab. 215. p. 139. 372. Paraphrasis Florentina cum nostrâ fabulâ pæne conspirat.

FAB. LXXXIV.

φέρων φενάκην τις φαλακρὸς ὠκύπους
ἔθει δίαυλον Ἰσθμίων ἐπ' ἀγώνων.
σφοδρὸν δὲ πνεύσας εἷλεθ' ὥνεμος κάρης.
ἡ δὴ τάχιστ' ἀνίπτατ' ἠέρος πνοιῇ.
γέλως πλατὺς δὲ τοὺς παρόντας ἐσχήκει.
ὁ ψηνὸς εἶπε, τοῦ δρόμου καταπαύσας·
τί τὸ ξενίζον εἰ ξένη με θρὶξ φεύγει;
ὅπουπερ ἡμὴ κάλλιπ' ἐκ χρόνου πλείστου.

μηδεὶς ἐπ' ἄρσει κτημάτων ἀνιάσθω·
χρῆσται γάρ ἐσμεν πραγμάτων βιωτείων.

1. Apud paraphrasin calvus eques, non cursor, inducitur. Equitem etiam in hac fabulâ habet Avianus f. 10. Metro subveniretur, si φέρων φενάκην τις φαλακρὸς ἵππευεν, omisso versu altero, scribamus.

3. κάρῃ, penultimâ communi, ut videtur, utitur poeta: vid. sup. fab. 59. v. 11.

5. γέλως δὲ πλατὺς B.

6. Lege, ὁ ψηνὸς αὐτοῖς εἶπε, τοῦ δρόμου παύσας. Ultimæ voces apud paraphrastam occurrunt. ψηνὸς, eodem sensu, apud Simonidem reperitur, fragm. 147. ed. Schneidewin.

8. κάλλιπεν B.

10. βιώσιμος et βιωτικὸς reperiuntur, verum βιώτειος ignotum est.

Vv. 3—5. 7—10 metra retinent. conf. fab. 283. p. 184. Cor.

FAB. LXXXV.

φιλίαισι δεξιοῦντο ταῖς ἀμοιβαίαις
γέρανος Λίβυσσα καὶ βάσαρος ἀλώπηξ.
ὧν ἡ μὲν ἔτνος λιπαρὸν ἀνὰ πλατείην
παροψίδ' ἀγχέασα προὔθετο ξείνης,
καὶ προυκαλεῖτο τήνδε λαμβάνειν δείπνων.
γέλων παρεῖχεν ἥδ' ἐφ' οἷς μάτην μόχθει,
τύπτουσα ῥάμφος πρὸς πέτρην ἀναλλήπτως.
ὑγρὸν γὰρ ἔτνος ῥῄδιον τάδ' ἐκφεύγει.
τὸ δ' ἐν μέρει Λίβυσσα τῇ πανουργούσῃ
θοίνην ὑπέστη προφρόνως ἀμοιβαίην
κὰν λεπτοδείρῳ λαγύνῳ κρίμνων πλήρει
ῥάμφος κατῆγε, καὶ τροφὴν ἀνειλήφει,
γελῶσ' ἐφ' οἷς χαίνουσα κηλὰς εἱστήκει.
κερδοῦς τὸ ῥύγχος ἀξύμβολον χύτρης δείρῃ.
κερδοῖ πέπονθας ἅπερ ἄλλον ἐπράξω.

2. De grue Libycâ vide sup. fab. 42. v. 1. ib. *βασσάρια*, quæ in Libyâ ponit Herod. IV. 192 per *vulpes* reddunt interpretes: conf. Etym. Mag. in *βασσάρα*. Vide Lyc. 771 cum Schol. et 1393, ubi *βάσσαρος* vulpis (*λαμπούριδος*), sensu metaphorico, epitheton est.

7. *ἀναλήπτως* B.

8. lege *τόδ'*.

9. *ἡ δ' ἐν μέρει* legendum.

11. conf. Bab. I. fab. 108. v. 9 et 32.

14. Sensus in hoc versu mancus.

Vv. 1. 4—10. 12. 13 metrum retinent. Eandem fabulam narrat Plutarchus Sympos. I. 1. 5.

FAB. LXXXVI.

φθεῖρες γεωργὸν ἔδακνον ἀροτριῶντα.
ὁ δὲ δὶς μὲν τἄροτρον ἀφεὶς χιτωνίσκον
ἐκάθηρεν· ὡς δ' ἔδακνον αὖθις ἀναίδην,
ἀπαλλαγῆναι παντελῶς θέλων τούτων
ἐς πῦρ χιτῶν' ἔρριψε μὴ θαμάκις λιπουργοίη.
κἀγὼ παραινῶ μὴ τρίτον πυρὸς δεῖσθαι
ὃς δὶς γυναικῶν πημοναῖς τετύφωται.

5. *λιπουργείη* B. *λιπουργεῖν* non alibi invenitur.

Vv. 4. 6. 7 metrum retinent.

Hâc fabulâ in concione usus est Sulla, teste Appiano Bell. Civ. I. 101.

FAB. LXXXVII.

χαλκεύς τις εἶχε κύν' ἐν δόμῳ τραπεζῆα.
τούτου δὲ χαλκεύοντος, ἐκεῖνος ἔδρηθεν.
καὶ αὖθις ἔδοντος, ἐκτάδην κύων ὕπνου,
καὶ δεσπότην ἔσαινεν ὀστέων ῥίψει.
ποτὲ δ' ἀγανακτῶν καὶ ῥάβδον κατασείσας,
ὦ σὺ τάλαντατ', εἶπε, τῶν κυνῶν ἄλλων.
τί δ' ἄν σε ποιήσαιμι τοῖον ὡς εὕδεις

ὄκνῳ τοσούτῳ κεκρατημένος τλήμων;
οὐπώποτ' ἔγνως ὡς πόνος καλῶν δώτης;
μὴ λῆγ' ἐπᾴδων ταῦτα τοῖσιν ἀεργοῖς·
ἀεργίῃ γὰρ πᾶς τις οὐ καλῶς πράττει.

3. Pro ἐκτάδην sensus ἐξηγείρετο aut ἀνέστη aut tale quid requirit.
9. δώτης. Invenitur hæc forma unice ap. Hesiod. Op. 353.
Vv. 4. 7. 9. 11 metra retinent. cf. fab. 284. p. 185. 387. Cor. Præstat recensio pedestris.

FAB. LXXXVIII.

χειμῶνος ὥρῃ γηπόνος τις ὡράκει
ἔχιν κατ' ἀγρὸν πεπηγότα σφόδρῳ κρυμῷ.
ᾤκτειρε τοῦτον, καὶ λαβὼν θέτ' ἐν κόλπῳ,
καὶ παρέθαλπεν αὐτὸν ἀλεηθῆναι.
ἀπαλλαγεὶς δὲ τοῦ κρύους, κἀνανήψας,
ἔχις ἔπληξε γηπόνον τὸν σωτῆρα.
εὐθὺς μεθῆκε, κεἶπεν, ὦ τλῆμον, θνήσκων·
δίκαια πάσχω τὸν πονηρὸν οἰκτείρας.
ἔδει γὰρ αὐτὸν κἂν ὑγιῆ κατατρίβειν.

5. ἀπαλλαγῆς, ει suprascripto, B.
Vv. 1. 3. 7. 8 metra retinent. cf. fab. 170. p. 104. 337. Cor.
v. 8. extat apud paraphrasin iambicam.

FAB. LXXXIX.

χειμὼν ἐτώθαζεν εἰς ἔαρ τάδε συνείρων·
σοῦ δὴ φανέντος οὔτις ἀτρεμῶν μίμνει.
ὁ μὲν γὰρ ἀλσῶν ἄλλος, τὴν δὲ λειμώνων,
τρέχει βαδίζων, ἢ νάπας τε κοιλάδας.
ὅτῳ γὰρ ἐραστὸν ἀνθέων τε καὶ κρίνων,

ἢ καὶ ῥόδων ἄωτον ἡδυπνειόντων,
δρέποντι τέρπειν ὄμμα καὶ στέφειν κάρην.
ἦρος μὲν οὖν τάδ'· ἀλλὰ τῶν ἐμῶν ἥττω.
νηὸς γὰρ αὐτὸς ἀμβάτης ἀλιπλάγκτου
κῦμ' ἐκταράσσω, κἀνέμους ἀπορνύω,
ομβρους ἐπάγων παγέτους τε χαλάζας.
καὶ μὴν χίονος τολύπευμα κρυμοπαγώδους
ὡς πάντας οἴκοις ἐμμένειν ἀπλανήτως,
ἤτοι παρ' ἑστίῃσιν ἠδὲ τραπέζαις,
ἡδυκτύπῳ λύρῃ τε καὶ χοροῖς παίδων,
ᾠδαῖς χλιδῶντας μουσικῶν ἀκουσμάτων.
ταῦτ' ἐξ' ἀμοιβῆς ἐστί σοι τὰ χειμῶνος,
εἴπερ δὲ καὶ κλύουσιν ἄνδρες εὐφήμως
ἐρασμίως σοῦ τοὔνομ', ἀλλὰ καὶ τοὐμὸν
ἡδύφθογγον πέφυκεν ὀρθίῃ γνώμῃ,
τέρψιν χέοντος ἐν δόμοισιν ἀνθρώπων.
 μὴ οὖν τὰ σαυτοῦ μεῖζον' εἰπὲ τῶν ἄλλων.
ἔνεστι καὶ γὰρ τῶν καλῶν τι κἀν τούτοις.

3—7. Sensus mancus.
7. De v. κάρη quantitate vid. sup. fab. 59. v. 11.
23. κἀκείνοις in marg. B.

Vv. 2. 6. 10. 15. 17—19. 21—23 metra retinent. cf. fab. 122. p. 275. Cor.

FAB. XC.

χελιδόνες κύκνοισι κερτόμουν λευκοῖς,
ὡς φυγγάνοιεν τὴν δίαιταν ἀνθρώπων,
ἀλλ' ἀμφὶ λειμῶνάς τε τούσδ' ἐφίπτασθαι,
ἠδὲ ποταμοὺς καὶ νάματα λιμναῖα,
φιλοῦντας αὐτοὺς μὲν βιοῦν ἐρημαίως·
μακρὰν δὲ καὶ τὴν μουσικὴν ἀποικίζειν.

ἡμῶν δ' ἔφασκον, αἱ πόλεις μὲν αὐτάνδρως,
στέγαι τε καὶ θάλαμοι, δόμοι τε σὺν αἰθούσαις,
καὶ περιλαλοῦμεν ἱστορήμαθ' ἡδίστως.
ἐκεῖνα δῆτ', ἐκεῖνα, φημὶ, τἀρχαῖα
παλαίθετα θρυλλοῦμεν' Ἄτθιδος χώρῃ,
Θράκην, Ἀθήνας, Πανδίωνα σὺν Τηρεῖ,
ἐκδημίην, κῆδός τε, καὶ τομὴν γλώσσης,
Ἴτυν τε νηπίαχον, ὕβριν, καὶ δέλτους.
ὅπως μετηλλάγημεν ἐς φυὴν πτηνῶν,
τέως ἔχουσαι ταυτόμορφον ἀνθρώποις.
τοιαῦτα πολλά τ' Ἀτθίδας συνειρούσας
μόλις μὲν ὄψε τ' ἠξίωσαν οἱ κύκνοι
λόγου, στυγοῦντες πουλυμυθίης ταύτης.
ἔμπης δέ γ' ἠξίωσαν οὐκ ἄτερ μούσης·
ὦ γηρύουσαι πολλὰ τέκν' Ἀθηναίων,
ἡμῶν μὲν εἵνεκα πᾶς τις ἂν ἀφίκνοιτο
ἑκὼν ἐρήμην μουσικῆς ἐπαΐσσων·
ὅταν πτέρωμα Ζεφύριόν ποτ' ἀνῶμεν,
ἱμερτὸν ἠδ' εὔηχον ἄημα ῥιπίζον.
ἀκούσεται γὰρ ἁρμονίης μελιφθόγγου.
τούτου χάριν δὴ κἄν τινα σμικρὰν ᾠδὴν
ᾄδωμεν ἡμεῖς, κἂν ἄπωθεν ἀνθρώπων,
καν μήτε πολλοῖς· τοῦτο δὴ τῶν καλλίστων,
εἰ φιλοσοφοῖμεν ᾀσματουργίην μέτρῳ,
μηδὲν θορύβοις μιγνύοντες τὰς μούσας.
ὑμῖν δὲ πᾶσιν εἰκότως ἀνιῶνται,
ἀλλ' οὐδὲ φέρουσιν ἡδέως συνοικούσας,
λάλην τε τὴν ἄμουσον ἀποστυγοῦσι.
καὶ ταῦτα δ' ὑμεῖς πάσχετε καθηκόντως,

αἴπερ παθοῦσαι τὴν τομήν τε τῆς γλώσσης
οὐκ ἴστε σιγᾶν, οὐδὲ μὴ τιτυβίζειν
ὅποσσ' ὑπέστητ' ἐν δόμοισιν ἀναίδην.
ἔπειτα δ' ἐστὲ καὶ λαλίσταται πάντων,
οὐδ' εὐστομεῖτε μουσικῶν τινα φθόγγων,
αἰεὶ δὲ θρηνεῖτ' ἐκτομήν τε τῆς γλώσσης,
ἠδ' Ἴτυλον θανόντα φασγάνῳ Ζήθου.

3. *τοὐδ'* B. Sensus in hoc loco imperfectus.

7. *πόλις* B.

8. *στέγαι δὲ* B.

12. *Πανδίωνά τε σὺν* B. Hujus vocis penultimam in casibus inflexis contra morem producere videtur Babrius: conf. sup. *Πανδιωνίς*.

20. *οὐκ ἄτερ μούσης*, vide sup. p. 29. v. 6.

23. *μουσικῆς ἐπαΐσσων*, pro 'musicæ studens', insolenter dictum: *ἐπαΐσσω* cum genitivo construit Homerus, Iliad. V. 263. XIII. 687.

34. *λάλη*, vox antiqua et inusitata, apud Lucian. Lexiphan. 14. occurrit.

36. Particula *τε* nihil habet quo referatur.

37. *τιτιβύζειν* B. vid. sup. f. 50. v. 4.

42. *Ἴτυλος*. Insolens in hac voce primæ syllabæ productio.

Receptam de Procne et Philomelâ fabulam supra vv. 12—16 innuit poeta; nempe Terei regis Thraciæ cum Procne Pandionis Attici regis filiâ matrimonium, Ityis filii procreationem, Philomelæ stuprum et exsectionem linguæ, litteras Philomelæ ad Procnen per dolum missas, Ityis mortem, et duarum sororum in aves conversionem. Itys a suâ matre Procne trucidatur, et Terei epulis apponitur. Si ergo fabulam ab historicis et tragicis Atticis agnitam secutus est Babrius, *φασγάνῳ Πρόκνης* aut *μητρὸς* scribere debuit: vid. Thuc. II. 29. et Soph. Terei fragmenta ap. Wagner. Vol. I. p. 391. Eandem quoque sequitur Babrius, I. fab. 12. Extat antiquior fabula apud Homerum (Od. XX. 518—523 cum Schol.) et Pherecydem fragm. 102. ed. C. Müller. in quâ Aëdon Pandarei filiarum natu maxima Zetho Thebano nubit, et Ityn eorum filium pro consobrino ejus interficit. Mater, errorem perpetuo moerens, a Jove impetrat ut in volucrem mutetur. Verum ab hac fabulâ Procne exulat, et Itylus matris Aedonis, non patris Zethi, gladio cæditur. Alia et

recentior fabulæ recensio extat apud Antonin. Liber. c. 11. — Recurrit hæc fabula verbis, quæ cum recensione Babrianâ proxime concordant, ap. Gregor. Naz. Epist. 114. tom. II. p. 102 (ed. Paris. 1840) in epistolâ 382 A D. scriptâ.

Vv. 1—3. 5—7. 9—13. 15—21. 23. 27—30. 32. 36. 39—42 metra conservant.

FAB. XCI.

χύτρας ποτάμιον ῥεῦμα δύο κατώθει,
ὧν ἡ μὲν ἦν ὀστράκινος, ἡ δὲ χαλκείη.
αὕτη δ' ἔφησεν ἐγγὺς οὖσα χαλκείῃ·
μακρὰν κολύμβα, μηδὲ πλήσιον πλώῃς.
εἰ γάρ τι μικρὸν ἐγγίσεις, κατακλῶμαι.
ἐπισφαλὴς πένητος οἶκος δυνάστην
ἔχων πάροικον δεινὸν ἄν τι καὶ τλήσοι.

1. ποτάμειον B.
2. ἦν om. B.
4. πλώει B.
Vv. 2—5. 7 metrum retinent.

conf. f. 290. p. 190. Cor. quæ nostram prope sequitur. Avian. fab. XI.

FAB. XCII.

ψύλλα καθῆστ' ἐπὶ ποδὶ ἀνδρὸς ἀθλητοῦ.
σοβοῦντος ἧλτο, δήξασα τόνδε γενναίως.
ὠργίζεθ' οὗτος, καὶ λαβεῖν ἐπεζήτει.
ἡ δ' αὖθις ἧλτο, κἀποδρᾶσ' ἐσαώθη.
τοιαῦτα πάσχων ἀθλητὴς παρὰ ψύλλης
στένων ἄνειπεν· Ἡράκλεις, οὐκ ἂν ἀρήξαις;
θεοῖς ὑβρίζειν τἀλάχιστα παραιτεῖσθαι.

1. πόδ' B.
5. αεθλης B.
6. ἂν εἶπεν et Ἡρακλες B.

V. 3 metrum retinet. conf. fab. 62. p. 38. 313 Cor.

FAB. XCIII.

ψύλλα δάκνουσα πόδα τινὸς παρηνώχλει.
ὁ δὲ συλλαβὼν, τίς εἶσθα, φησὶ, καὶ δάκνεις,
καὶ πᾶν ἀναίδην σῶμά μου σῦ λογχεύεις;
ἡ δὲ πρὸς αὐτόν· ἔνθεν ὁ βίος ἔσθ' ἡμῖν.
μηδὲ κτάνῃς με, κοὐ μέγα τι κακὸν πράττω.
ὁ δὲ πρὸς αὐτὴν εἶπεν ἀγανακτήσας·
παρ' αὐτὰ χερσὶ ταῖς ἐμαῖς σῦ τεθνήξει.
τὸ γὰρ κακὸν πέφυκεν εἴθε μηδ' εἴη
αἴει κακὸν κἂν μείζοσι κἄν τ' ἐλαχίστοις.

3. πάντ' ἀναίδην B.
5. Præstat μὴ δὴ κτάνῃς με.
7. De τεθνήξει conf. sup. f. 81. v. 2.

Vv. 2—5. 7. 8 metra conservant. cf. fab. 292. p. 191. 400. Cor.

FAB. XCIV.

ψύλλα τις ὧδε βοῦν τινά ποτ' ἠρώτα·
τί δὴ παθὼν βροτοῖσι τοῖα δουλεύεις,
κάμνεις ὁσημέραι τε; καὶ τάδ' ἀλκήεις
πελώριός τε τυγχάνων. ἐγὼ μέντοι
μικρά περ οὖσα σάρκας αὐτέων δάκνω,
πίνουσα χανδὸν αἷμ' ἐρυθρὸν ἀδείμων.
βοῦς εἶπ'· ἐγώ τις οὐχ ἄχαρις ἀνθρώπων.
στέργουσι γάρ με, καὶ φιλοῦσι βοῦν πάντῃ,
καταψάοντες θαμὰ μέτωπον ἠδ' ὤμους.
κνῶντες δέ με τρίβουσιν ἐν θυμηδείῃ.
ἔφη δ' ἐκείνη τῷ βοῒ πολυτλήτῳ·
ἀλλ' οὖν ἐμοίγε τῇ μάλιστα δειλαίῃ
ἡ σή γε τρίψις οἶτος αἰνὸς ἐκβαίνει,